Tanquam oculi, Beate, pupillam me serves.
Tuarum amabilium umbra alarum me tegas
A viris iniquis, qui mihi malitiam fecerunt.
Inimici animam meam obsepientes prohibuerunt,
Irritæ satietatis suum concluderunt adipem.
Suo ore frigidam superbiam locuti sunt.
Qui me aliquando projicientes, circumdederunt ac- [cedentes :
In terra defixerunt inclinantes vultum.
Ut vero leo persecuti sunt paratissimam ad prædam,
Similes catulo occultas insidias habitanti.
Exsurge, et præveniens, in terram dejice genua sol- [vens :
D Ab impio valde animam eripias meam
Frameam ancipitem hostium aufer de manu.
A paucis me serva, et de terra, immortalis Pastor,
Obruens dissipes adhuc vivos per terram.
De absconditis adimplerunt suum capacem ventrem.
Repleti pinguibus dimiserunt filiis reliquias convivii.
Sed ego Regi in justitia appaream :
Sufficiens ad satietatem nobis visa tua gloria est.

PSALMUS XVII.

*Davidis servi cælestis Regis.*
*Hic potentis vitæ finis ut antea dixit,*

*Quando ab inimicis eum Rex eripuit omnibus.*
*Sauleque pernicioso cupiente eum perdere.*
*Septimum simul et decimum dedicavit hymnum.*

Fortitudo mea : te enim solum semper, Deus, diligo:
Ipse firmamentum et auxilium meum et defensor es.
Spes mea es, et meorum protector operum :
Solidum vitæ cornu et propugnans robur.
Laudans te precibus hostium manus effugiam.
Dolores mortis circumdederunt graves.
Torrentesque conturbarunt immensi iniquitatum.
Tartareorum me cruciatus circumdederunt barathrorum :
Texti vero me præmiserunt asperæ laquei mortis
Sed ego invocavi sollicitus Deum in angustia,
De cœlo Regis auxiliatricem manum clamans.
De sancto vocantis meam vocem exaudivit templo:
Clamor meus currat in aures fideles Dei.
Terra gravis commota est : tremor vero eam occupavit totam :
Alicunde excelsorum montium conturbata sunt fundamenta.
Divinam horrentia bilem et iram Regis
Immortalis irascentis ingens excitabatur fumus,
Et igni illuminans beati robur surgebat vultus :
Carbones ab eo ardentes succensi sunt.
De cœlo descendit, cœlum ignitum inclinans :
Immortalis ferebatur caligo sub pedibus Dei :
Ascendens curribus suis volavit super cherubim :
Volavit velocium ventorum pennis elevatus,
Tectus caligine : hoc enim voluit auxilium capere.
Circum ipsum circumdans inclytum posuit tegumentum,
Veluti æthereæ nubis latens aqua,
Transierunt nubes suis præ fulgoribus ;
Carbones concitati ignis miscebantur grandini.
Tunc intonuit et de cœlo Deus ipse.
Immortali vero Altissimus ab æthere resonuit voce:
Divinis dissipavit volubilibus sagittis.
Omnes simul conturbati sunt præ fulguribus crebris:
Humidi vero apparuerunt puri tunc fontes,
Et totius feracia fundamenta visa sunt terræ,
Immortalis : tuam enim omnia timent increpationem :
Spiritus timuerunt tui tantam inspirationem et iram.
De cœlo misit, cito vero me liberavit necessitate :
De vero sonoris me cito assumpsit fluentis :
Eripiet de inimicis me, quibus ingens robur,
Virisque malevolis, quoniam fortiores sunt me.
Debili prævenerunt in die armati,
Et meus Rex protexit : confirmavit vero conatum :
Audentem vero statuit in latis viis.
Eripiet de inimicis me, cæterum osores redarguet.
Mercedem secundum justitiam, et dignam gloriam tribuat :
Nostrarum hoc lucrum puritatis manuum.
Quoniam Immortalis charas custodivi vias :

A Ὁππότε δυσμενέων μιν Ἄναξ ἀπελύσατο πάντων,
Σαούλου τ' ὀλοοῖο λιλαιομένου μιν ὀλέσσαι,
Ἑφθ' ἅμα καὶ δέκατον προσφθέγξατο πνεύματι κῶμον.

Κάρτος ἐμόν· σὲ γὰρ οἶον ἀεὶ, Θεὸς, ἀμφαγαπάζω·
Αὐτὸς ἔρεισμα καὶ ἄλκαρ ἐμὸν καὶ ἀρωγὸς ἐτύχθης.
Ἐλπὶς ἐμὴ τελέθεις, καὶ ἐμῶν ἐπιτάῤῥοθος ἔργων,
Ἄῤῥηκτον βιότοιο κέρας καὶ ὑπέρμαχος ἀλκή,
Ὑμνείων σε λιταῖς, δηΐων ἀπὸ χεῖρας ἀλύξω.
Ὠδῖνες θανάτοιο περιστιχόωντο βαρεῖαι.
Χειμαῤῥοί τ' ὀρόθυνον ἀμήχανοι ἀμπλακιάων.
Ταρταρίων μ' ὠδῖνες ἐκυκλώσαντο βερέθρων
Πλεκτὰ δέ με προὔπεμψε τανηλεγέος λίνα πότμου.
B Αὐτὰρ ἐγὼ κίκλησκον ἐπειγόμενος Θεὸν ἄτῃ,
Οὐρανόθεν Βασιλῆος ἀρηγόνα χεῖρα βοήσας.
Εὐαγέος καλέοντος ἐμὸν θρόον ἔκλυε νηοῦ·
Φθόγγος ἐμὸς θύνειεν ἐς οὔατα πιστὰ Θεοῖο.
Χθὼν βριαρὴ δεδόνητο, τρόμος δέ μιν εἵλετο πᾶσαν·
Ἔκποθεν ἠλιβάτων ὀρέων τετάρακτο θέμεθλα,
Θεσπέσιον τρομέοντα χόλον καὶ μῆνιν Ἄνακτος.
Ἀθανάτου κοτέοντος ἀπείριτος ὄρνυτο καπνὸς
Καὶ πυρὶ λαμπόμενον Μάκαρος σθένος ὦρτο προσώπου.
Ἄνθρακες ἐξ αὐτοῖο πυριφλεγέθοντες ἀνῆφθεν.
Οὐρανόθεν κατέπαλτο, πόλον φλογοειδέα κλίνας·
Ἀθανάτου πεφόρητο γνόφος παρὰ ποσσὶ Θεοῖο·
C Ἐμβεβαὼς ὀχέεσσιν ἑοῖς πεπότητο χερουβίμ·
Ἵπτατο βυκτάων ἀνέμων πτερύγεσσιν ἀερθεὶς
Κευθόμενος κνέφαϊ· τὸ γὰρ ἤθελεν ἄλκαρ ἑλέσθαι·
Ἀμφί ἑ κυκλώουσαν ἀγακλέα θῆκε καλύπτρην,
Οἷάπερ αἰθερίης νεφέλης κεκρυμμένον ὕδωρ.
Ὥρμηθεν νεφέλαι σφετέρων ὑπὸ μαρμαρυγάων·
Ἄνθρακες ὀρνυμένοιο πυρὸς μίγνυντο χαλάζῃ.
Τῆμος ἐβρόντησεν καὶ ἀπ' οὐρανόθεν Θεὸς αὐτός.
Ἀθανάτῃ δ' Ὕψιστος ἀπ' αἰθέρος ἴαχεν αὐδῇ·
Θεσπεσίοις ἐκέδασεν ἐπιτροχόωσιν ὀϊστοῖς.
Πάντες ἅμ' ὠρίνθησαν ὑπ' ἀστεροπῇσι θαμειαῖς·
Ὑδροτόκοι δ' ἀνέτελλον ἀκηράσιοι τότε πηγαὶ,
Καὶ πάσης ἐρίβωλα θεμείλια φαίνετο γαίης,
Ἄφθιτε· σὴν γὰρ ἅπαντα περιτρομέεσκεν ὁμοκλήν·
D Πνεύματος ἐπτοίηντο τεοῦ τόσον ἆσθμα καὶ ὀργήν.
Οὐρανόθεν προέηκε, θοῶς δέ με ῥύσατ' ἀνάγκης·
Ἐκ δὲ πολυσμαράγων με θοῶς προσέδεκτο ῥεέθρων
Ῥύεται ἐκ δηίων μ', οἷσιν περιώσιος ἀλκή,
Ἀνδρῶν τ' ἐχθομένων, ὅτι φέρτεροί εἰσιν ἐμεῖο.
Ἠπεδανῷ προὔτυψαν ἐν ἤματι θωρηχθέντες,
Καί μευ Ἄναξ προμάχιζεν, ἐπεστήριξε δ' ἐρωήν
Θαρσαλέον δ' ἔστησεν ἐπ' εὐρυχόροισιν ἀταρποῖς.
Ῥύεται ἐκ δηίων με, ἀτὰρ στυγέοντας ἐλέγξει,
Μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι·
Ἡμετέρων τόδε κέρδος ἀκηρασίης παλαμάων,
Οὕνεκεν Ἀθανάτοιο φίλας ἐφύλαξα κελεύθους·

Οὐδὲ νόῳ φρασάμην ἕτερον θεόν· οὐδὲ γὰρ ἦεν·
Οὕνεκά οἱ ζωοὺς ὁρόω φρεσὶ πάντοτε θεσμούς·
Οὐδέ οἱ ἀχράντων φυλακὴν λίπον εὐνομιάων·
Καὶ οἱ ἀμωμήτοισι παρέσσομαι ἴχνεσιν αἰεί·
Ἀμπλακίης ἀπάνευθε νόον Βασιλῆϊ φυλάξω.
Μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι·

Ἡμετέρων δέρκοιτο ἀκηρασίην παλαμάων.
Ἢν ὁσίων ξυνέριθος ἔῃ (16-17), ὁσίων κε γένοιο,
Καί κε νόῳ ξυνέοντι (18) μάθοις παρ' ἀθῴων ἀθῴου·

Ἐσθλῷ ἀνέρι πάντα μεμιγμένος, ἐσθλὰ ἀκούσαις·
Οὐδὲ πάλιν στρεπτῷ παρειὼν βροτῷ εὔστροφος εἴης.
Αὐτὸς λαὸν ἀεὶ χθαμαλόφρονα ῥύσεαι ἄτης·
Ὀφθαλμὸν δ' ἀκόρητον ὑπερφιάλων ἀλαώσας (19).
Αὐτὸς λύχνον ἐμὸν πολυφεγγέα πάντοτε τεύξοις·
Ἄμμι διαστράψοι δνοφερὸν κνέφας ἐκ σέθεν αἴγλη.
Νεύματι σῷ προφύγοιμι κακῶν πολυπήμονα πεῖρην.
Πύργον ὑπερβαίην πίσυνος Θεῷ αἰὲν ἐόντι.
Ἀθανάτου Βασιλῆος ἀκήρατοί εἰσι κέλευθοι,
Καὶ μῦθοι πυρόεντες ἀναζείουσιν Ἄνακτος.
Τῶν δ' ὑπεραθλεύησιν, ὅσοις πέλει ἐλπὶς ἐπ' αὐτῷ.
Τίς μάκαρ ἀθάνατος, πλὴν ἀθανάτου Βασιλῆος ;
Ἠὲ τίς ἡμετέροιο Θεοῦ Θεὸς ἐκτὸς ἐτύχθη ;
Ἀμφιβαλών μ' ἔζωσε Θεὸς περιώσιον ἀλκήν·
Θήκατο δ' ἡμετέρην καθαρὴν καὶ ἄμωμον ἀταρπόν,
Τεύχων ὠκυπόδεσσι πόδας κεμάδεσσιν ὁμοίους,
Αὐτὰρ ἐφ' ὑψίστοισιν ἐμὸν φίλον ἴχνος ἐρείδων,
Χεῖρας ἐμὰς βριαράς τε μενεπτολέμους τε διδάσκων.
Παγχάλκειον ἔτευξε βραχίονας ἠΰτε τόξον.
Καί με πόρες μερόπεσσι φόως, ἀλκτῆρά τ' ἀνάγκης,

Καὶ σέο δεξιτερὴ πρόμος ἔπλετο πάντοτ' ἐμεῖο.
Σεῖο, Μάκαρ, σοφίῃ κραδίην ἰθύνομαι αἰεί·
Πάντοτε κυδιάνειρα τεὴ σοφίη με διδάσκει.
Ἔμπεδον ἴχνος ἔχω, σὺ δ' ἐμὰς εὔρυνας ἀταρπούς.
Οὔτις ἐλαυνόμενόν με δρόμῳ παρελεύσεται ἐχθρῶν.
Οὐδὲ βίης λήξαιμι, πάρος λήξουσι δαμέντες·
Οὐδὲ πιεζομένοις στατερὸν σφίσιν ἴσχεται ἴχνος·
Ἀλλὰ ποσὶ δμηθέντες ὑφ' ἡμετέροισι πέσοιεν.
Ἠνορέῃ με κόρυσσας ἀριστοπόνῳ κατὰ δῆριν·
Ἀντιβίους ξυνέδησας ἐμῶν ὑπένερθε πεδίλων.
Δυσμενέες πεφόβηντο φυγῇ μετὰ νῶτα βαλόντες.
Αὐτὰρ ἀπεχθαίροντας ἀδευκέϊ πέφνες ὀλέθρῳ.
Αὐτοὶ μὲν βοάασκον, ὁ δ' οὔ σφισιν ἦεν ἀμύντωρ.

Ἀθάνατον καλέεσκον, ὁ δ' οὐκ ἀΐεσκε λιτάων.

Τοὺς διαλικμήσαιμι ἅτε χνόον ὄντα θυέλλης,
Πηλὸν ὅπως πεζῇσιν ἐπιστείψαιμι κελεύθοις.
Δημοτέρων ἔριδός με διχοστασίης τε σαώσεις (20),
Καί με καταστήσειας, Ἄναξ, κοσμήτορα λαῶν.
Λαὸς ὃν ἀγνώσσω, θέτο μευ ζυγῷ αὐχένα δοῦλον·

Οὔασιν ἡμετέρην ταχυπειθέσι δέξατο φωνήν.
Ἀλλοδαποὶ γεγαῶτες ἐπεψεύσαντό με παῖδες,

A Neque animo cogitavi alium Deum : non enim est,
Quoniam ipsi vivas video animis semper leges :
Neque ipsi purarum custodiam reliqui æquitatum :
Et ipsi immaculatis adero vestigiis semper :
A peccato longe animum Regi servabo.
Mercedem secundum justitiam, et dignam gloriam tribuat :
Nostrarum videat puritatem manum.
Si sanctorum socius fueris, sanctus eris,
Et si mente prudenti discas innocentiam ab innocente :
Probo viro omnia mixtus, proba audias :
Neque rursus perverso conversans facilis fueris.
Ipse populum humilem liberabis a noxa :
Oculum vero insatiabilem superborum excæcabis.
B Ipse lucernam meam lucentem undique facias :
Nobis illuminet obscuras tenebras ex te splendor
Nutu tuo effugiam malorum damnosum periculum.
Turrim transgrediar fretus Deo semper exsistenti.
Immortalis Regis impollutæ sunt viæ,
Et verba ignita ebulliunt Regis.
Eos vero protegit, quibus est spes in ipso.
Quis beatus immortalis præter immortalem Regem
Aut quis nostrum Deum Deus extra est ?
Complectens me cinxit Deus ingenti robore :
Posuit vero nostram puram et immaculatam viam,
Perficiens citis pedes cervis similes :
Sed in altissimis meum charum vestigium firmans,
Manus meas fortesque bellicosasque docens,
Æreum fecit brachia ut arcum.
C Et me præbuisti mortalibus lumen, propulsatoremque necessitatis,
Et tua dextera propugnatrix fuit semper mea.
Tua, Beate, sapientia cor dirigo semper :
Semper illustris tua sapientia me docet.
Firmum vestigium habeo, tu vero meas dilatasti vias.
Nullus agitatum me cursu præteribit hostium.
Neque a vi cessarim, antequam dessinent donari :
Neque oppressis firmum ipsis hæret vestigium :
Sed pedibus domiti sub nostris cadant.
Virtute me armasti valida ad bellam,
Hostes supplantasti meis sub pedibus.
Inimici territi sunt fuga terga vertentes :
Sed osores amaro perdidisti exitio.
Ipsi quidem clamaverunt, non autem ipsis erat vindex :
D Immortalem vocaverunt, ipse vero non exaudivit preces :
Eos comminuam ut pulverem existentem procellæ,
Lutum ut terrestribus calcabo viis.
Popularium contentione me discordiaque serves,
Et me constituas, Rex, ducem populorum.
Populus quem ignoro, posuit meo jugo cervicem servam :
Auribus nostram credulis accepit vocem.
Alieni facti mentiti sunt mihi filii,

(16-17) Ἔῃ. Forte, ἔῃς. Edit.
(18) Ξυνέοντι. Forte, ξυνιέντι. Id.

(19) Ἀλαώσας. Forte, ἀλαώσεις, vel ἀλαώσαις. Id.
(20) Σαώσεις. Forte, σαώσαις. Id.

Incassum ad senectutem iverunt alieni filii,
Semper claudicantes suis longe viis.
Vivit mihi Rex, et semper multum laudandus est.
Nostræ vitæ Deus summus sit.
Vindex sempor similiter factus hostes trucidet,
Nostro domans divino robore populum.
Iratorum ab improbitate hostium me servet
Sed insurgentibus, Rex, longe præstantior sim
Viri ab iniqui malitia me serves.
Propterea tuam palam gentibus edisseram viam :
Nomen vero altissimum cithara tuum celebrabo :
Ideo lumen extulisti auxiliare Regis,
Immortalem vero misericordiam fecisti uncto
Davidi, et ejus perpetuis generationibus.

## PSALMUS XVIII.

*Decimus octavus Davidis psalmus est.*

Cœli immortalem gloriam enarrant Dei,
Manum vero immortalium sedes cœli opera cantat.
Diei honoratum verbum eructavit dies,
Et nox divinam sapientiam supposuit nocti.
Non sonus externus erat multus, neque sermones.
Quorum vocis obliviscantur, et non audiant omnium.
Suus igitur sonus totam pervasit terram,
Et verba volarunt per nobiles terminos terræ,
Tabernaculum soli apposuit honoratum :
Fulgens vero ipse thalamis tanquam sponsus procedebat.
Similiter exsultavit cursum perficienti giganti.
Cælesti ex adverso means egredietur arce :
Neque est qui fugiat flammeum radium apparentem
Lex immaculata convertens animas est Regis,
Fidele testimonium sapientiam parvulis præstat.
Lætitiam cordibus justitiæ faciunt Dei.
Præceptum lucidum etiam oculis lumen auget :
Divinus semper purusque et firmus est timor :
Cognovit judicia vera semper Regis,
Auro et gemma meliora nobili,
Et multo jucundiora favo suavi.
Ipsa tuus servus gaudens novit servare,
Mercedem habens custodiæ bonorum multam operum.
Qui intelligat multitudinem mortalis delictorum ?
Semper, Rex, ab occultis me vitiis longe arceas :
Neque mihi alienarum possessionum animo desiderium sit.
Si non mei dominentur, immaculatus fiam,
Emundatus a vitio superbiaque gravi.
Sermones vero propensa voluntate grati dirigantur
Et tuorum mei cordis meditatio e regione oculorum :
Semper defensor et adjutor es meus.

## PSALMUS XIX.

*Nonus et decimus Davidis psalmus est.*

Precanti Deus in die auxilietur necessitatis,
Et tuus Jacobi defensor Deus immortalis sit.
De sancto indigenti charum præbeat auxilium,

A Μαψιδίως μετὰ γῆρας ἔϐαν ἀλλότριοι υἷες,
Πάντοτε χωλεύοντες ἑῶν ἀπάνευθε κελεύθων,
Ζώει ἐμοὶ Βασιλεύς, καὶ ἀεὶ πολύαινος ἐτύχθη.
Ἡμετέρου βιότοιο Θεὸς πανυπέρτατος εἴη.
Ἔκδικος αἰὲν ὁμῶς γεγαὼς δηΐους κεραΐζοι,
Ἡμετέρῳ δαμάσας θεοτερπέϊ καρτεϊ λαον.
Χωομένων κακότητος ὑπ' (21) ἀντιβίων με φυλάσσοι·
Ἀλλ' ἐπαειρομένων, Βασιλεῦ, πολὺ φέρτερος εἴην.
Ἀνέρος ἐξ ὀλοοῖο κακοῤῥαφίης με σαώσοις.
Τοὔνεκα σὴν ἀναφανδιά δείξομαι ἔθνεσιν οἴμην·
Οὔνομα δ' ὕψιστον κιθάρῃ, σέθεν ὑμνοπολεύσω·
Οὕνεκα φέγγος ἄειρας ἀλεξίκακον Βασιλῆος,
Ἀθανάτην δ' ἐλεημοσύνην τεκτήναο χριστῷ
Δαυΐδῳ, καὶ τοῖο διηνεκέεσσι γενέθλαις.

## ΨΑΛΜΟΣ ΙΗ'.

B Ὀκτωκαιδέκατος Δαυΐδου ψαλμὸς ἐτύχθη.
Οὐρανοὶ ἄφθιτον εὖχος ἀπαγγέλουσι θεοῖο,
Χειρῶν δ' ἀθανάτων ἕδως οὐρανοῦ ἔργα λιγαίνει.
Ἤματι τιμήεντα λόγον προσερεύξατο ἦμαρ,
Καὶ νὺξ ἀμϐροσίην σοφίην ὑπεθήκατο νυκτί.
Οὐ θρόος ἀλλόγλωσσος ἔην πολὺς, οὐδέ τι μῦθοι,
Ὧν αὐδῆς λελάθοντο (22), καὶ οὐκ ἀΐοιεν ἁπάντων.
Σφωΐτερος μὲν φθογγος ὅλην μετενίσσετο γαῖαν,
Καὶ μῦθοι πεπότηντο διὰ κλυτὰ πείρατα γαίης.
Σκηνὴν ἠελίῳ παρεθήκατο τιμήεσσαν·
Λαμπόμενος δ' αὐτὸς θαλάμων ἅτε νυμφίος ὦρτο.
Εἴκελα γηθήσειε δρόμον τελέοντι γίγαντι.
Οὐρανίης ἑτέρωθεν ἰὼν προελεύσεται ἄκρης·
Οὐδ' ἔσθ' ὅς κε φύγῃ φλογερὴν ἀκτῖνα φανεῖσαν.
C Θεσμὸς ἀκηράσιος ψυχοστρόφος (23) ἐστὶν Ἄνακτος,
Πιστὴ μαρτυρίη σοφίην βρεφέεσσι φυτεύει.
Εὐφροσύνην κραδίῃσι δίκαι τεύχουσι θεοῖο.
Ἐννεσίη στίλϐουσα καὶ ὄμμασι φέγγος ἀέξει·
Θεῖον ἀεὶ καθαρόν τε καὶ ἔμπεδον ἔπλετο δεῖμα·
Ἔγνων εὐδικίας παναληθέας αἰὲν Ἄνακτος,
Χρυσοῦ καὶ ψηφῖδος ἀρειοτέρας ἐριτίμου,
Καὶ πολὺ τερπνοτέρας μελικηρίδος ἱμεροέσσης:
Ταῦτα τεός θεράπων κεχαρημένος οἶδε φυλάσσειν,
Μισθὸν ἔχων φυλακῆς ἀγαθῶν περιώσιον ἔργων.
Τίς κεν ἀναγνοίη πληθὺν βροτὸς ἀμπλακιάων ;
Αἰὲν, Ἄναξ, κρυφίων με κακῶν ἀπάνευθεν ἐρύκοις·
Μηδέ μοι ἀλλοτρίων κτεάνων φρεσὶ ἵμερος εἴη.
D Εἰ μή μευ κρατέοιεν, ἀμώμητός κε γενοίμην,
Νιψάμενος κακότητος, ἀτασθαλίης τ' ἀλεγεινῆς.
Μῦθοι δ' εὐδοκίῃ μεμελημένοι ἰθύνοιντο,
Καί σευ ἐμῆς κραδίης μελέτη κατεναντίον ὄσσων·
Αἰὲν ἀλεξητὴρ καὶ ἐπίῤῥοθος ἔπλευ ἐμεῖο.

## ΨΑΛΜΟΣ ΙΘ'.

Ἐννεακαιδέκατος Δαυΐδου ψαλμὸς ἐτύχθη.
Εὐξαμένῳ Θεὸς ἦμαρ ἀλεξήσειεν ἀνάγκης,
Καί σευ Ἰακώϐου πρόμαχος Θεὸς ἄφθιτος εἴη.
Ἐξ ἁγίου χατέοντι φίλην ὀπάσειεν ἀρωγήν,

(21) Ὑπ'. Forte, ἀπ' Edit.
(22) Λελάθοντο. Forte, λελάθοιντο. Id.
(23) Ψυχοστρόφος. Forte, ψυχοτρόφος. Id.

Ἐκ δ' ἐρατῆς Σιῶνος ἀλεξίκακος πέλας ἔλθοι.
Αὐτὸς παντοίης σευ ἐπιμνήσαιτο θυηλῆς,
Καὶ σέο καρφομένην θυσίαν πλήσειεν ἀλοιφῆς.

Πάντα τοι Ἀθάνατος κραδίῃ μεμελημένα ῥέξοι,
Πᾶσαν ἀναπλήσειε τεὴν θεοτερπέα βουλήν.
Σεῖο φερεζώῳ κραδίην κεχαρησόμεθ' ἀλκῇ·
Ἀθανάτῳ πίσυνοι μεγαλαυχέες ἐσσόμεθ' αἰεί.
Πάντα τεῶν πλήσειεν ἐναίσιμα δῶρα λιτάων·
Νῦν ἐδάην ὡς χριστὸν ἑὸν Θεὸς ἐξεσάωσε·

Καί οἱ ἀπ' οὐρανόθεν μεμαὼς καλέοντος ἀκούσει.
Κλεινὸν δεξιτερῆς σφετέρης περὶ κάρτεϊ φέγγος.
Οἵδε μὲν οὖν ἵπποισι καὶ ἅρμασιν ἐμβεβαῶτες,
Ἡμεῖς δ' Ἀθανάτῳ πίσυνοι μεγαλιζόμεθ' αἰεί.
Οἵδε πόδας πεπέδηντο, λάθον δ' ἔκπαγλα πεσόντες,

Ἡμῖν δ' ἐγρομένοις ἰθύνετο πάντα κατ' αἶσαν.
Ἄφθιτε, καρτερόθυμον ἀεὶ βασιλῆα σαώσοις,
Εἰσαΐοις δ' ὅτε δή σε λιταζόμενοι καλέσαιμεν.

## ΨΑΛΜΟΣ Κ'.

Δαυΐδου κλυτὸς οὗτος ἐεικοστὸς πέλει ὕμνος.
Αἰὲν ἄναξ, Ἄχραντε, τεῷ περὶ κάρτεϊ χαίροι,
Καὶ σέο γηθήσειεν ἀεὶ κατὰ θυμὸν ἀρωγῇ.
Οὕνεκά οἱ ψυχῆς κεχαρισμένον ἦθος ἔδωκας,
Εὐχωλὴν δ' ἐτέλεσσας, ἅλις δ' ἕλε χείλεσι καρπόν.

Μειλιχίης προύτυψας ἐπ' εὐλογίης μιν ἰαίνων·
Στέμμα λίθων γεραρῶν κεφαλὴν ἐστέψαο τοῖο·
Ῥηΐστην βιοτὴν διζημένῳ ἐγγυάλιξας,
Ἤμασι μηκεδανοῖσι διηνεκέως βίου ἕλκειν·
Κῦδος ἔχει περίπυστον ἀλεξικάκῳ σέθεν ἀλκῇ·
Καί οἱ ὑπερτερίην, καί τι πλέον εὖχος ὀρέξοις.
Πάντοτ' ἀτέρμαντον καὶ ἀγήραον ὄλβον ὀπάζοις.
Χάρματι δ' εὐφραίνοιτο τεῷ, Μάκαρ, ἀμφὶ προσώπῳ.
Ἐλπωρὴν ἀνέθηκε Θεῷ γεραρώτερος ἐσσήν,
Ὑψίστου δ' ἐλέῳ πολυθαρσέας ἤρσε πέζας.

Ἀντιβίοις ἅμα πᾶσι τεὴν ἐπὶ χεῖρα κορύσσοις,
Δεξιτερὴ σέο πάντας ἀπεχθαίροντας ἐφεύροι.
Σεῖο καταφλεχθεῖν ὑπ' ὄμμασιν ἶσα καμίνῳ.
Ἐν δέ γε τῷ πυρόεντι κότῳ σύμπαντας ἀτύζοις,
Καί σφεας ὀλλυμένους δηλήσεται ἀκαμάτη φλόξ.
Πάντα μάλ' ἐξολέσειας ἑῆς ἀπὸ καρπὸν ἀρούρης,
Καὶ σπόρον αἰνοτόκον μεροπηΐδος ἔκτοθι φύτλης
Οὕνεκά σοι βρίσαντες ἐπ' ἄλγεα μυρία θέντο·

Ἀσταθὲς ἐν στέρνοισιν ἐπεφράσαντο νόημα.
Ἀντιβίων τρέψειας ἐλεγχέα νῶτον ἀκωκῆς·
Εἴκελον ὧν μεθέηκας ἑὴν τελέσειας ὀπωπήν.
Ἀλλ' ἐπιθαρσήσας σθένεϊ μεγαλίζεο, Ποιμήν.
Αὐτὰρ ἐγὼ σέο κάρτος ἀοίδιμον ὑμνοπολεύσω.

## ΨΑΛΜΟΣ ΚΑ'.

Πρῶτον Δαυΐδος καὶ ἐεικοστὸν μέλος·
Ἦσεν δ' ἐῴας ἀντιλήψεως ὕπερ.

Δέρκεο, τίπτε, Μάκαρ, με, Μάκαρ, κατὰ πάμπαν [ἔλειπες;
Τῆλέ μευ ἀμπλακίης ἔπεα ζωῆς ἀπερύκοις.

A De vero amabili Sione auxiliator prope veniat.
Ipse universi tui memor sit sacrificii,
Et tuum desiccatum sacrificium impleatur pingue- [dine.

Omnia tibi Immortalis cordi grata faciat,
Omne expleat tuum divinum consilium.
Tuo vitali cor exhilarabimus robore :
Immortali fidentes magnanimi erimus semper.
Omnia tuarum impleat idonea dona precum
Nunc cognovi quoniam christum suum Deus ser- [vavit :

Et ipsi de cœlo cupiens vocantem audiet.
Inclytum dexteræ ejus in rubore lumen.
Hi quidem igitur equis et curribus incedentes,
Nos vero Immortali fidentes magnificabimur semper
B Ipsi pedibus obligati sunt, latuerunt turpiter ca- [dentes,

Nobis vero erectis diriguntur omnia commode.
Immortalis, fortem semper regem serves,
Exaudias vero quando sane te precati invocave- [rimus.

## PSALMUS XX.

*Davidis inclytus is vicesimus est hymnus.*

Semper rex, Immortalis, tuo in robore lætetur,
Et tuo exsultet semper ex animo auxilio.
Ideo ipsi animæ gratam voluptatem tribuisti,
Votum vero perfecisti, satis autem cepit labiis [fructum.

Suavi prævenisti in benedictione eum exhilarans
Corona lapidum pretiosorum caput coronasti ejus :
C Facillimum victum quærenti præbuis
Diebus longis perpetuo vitam trahere.
Gloriam habet illustrem auxiliari tuo robore :
Etiam ipsi eminentiam, et majus decus præbeas.
Semper infinitam et æternam beatitudinem tribuas.
Gaudio autem lætetur tuo, Beate, cum vultu.
Spem posuit in Deo honoratior princeps,
Altissimi vero misericordia confidentes fulsit pe- [des.

Inimicis simul omnibus tuam manum armes,
Dextera tua omnes osores inveniat.
Tuis comburantur in oculis veluti clibanus.
In autem quidem ignita ira omnes conturbes,
Et ipsos perditos lædet irrequieta flamma.
Omnem certe perdas suo fructum a campo,
Et semen exitiale mortalem extra generationem.
D Quoniam tibi degravantes mala infinita imposue- [runt ;

Incertum in præcordiis cogitaverunt consilium.
Hostium vertas indecorum dorsum mucrone :
Similem quorum reliquisti suum perficias vultum.
Verum confidens in virtute exaltare, Pastor.
Ast ego tuum robur celebre cantabo.

## PSALMUS XXI.

*Primum David et vicesimum carmen :*
*Cecinit vero matutina susceptione pro.*

Respice, quare, Beate, me, Beate, prorsus dereli- [quisti ?
Longe a meo delicto verba vitæ arceas.

A Ad te, Beate, clamabam : meam vero non audies [vocem :
Neque valde ignoravi tuum sensum in præcordiis [nocte.
In autem sancto habitas, laus magna Israelis,
Nostrorum patrum manifesta spes existis,
Et ipsos sperantes molestis liberasti ærumnis.
Ad te, Beate, clamaverunt, sua vero servati sunt [necessitate,
Neque tua immortali pro spe dedecus reportarunt.
Verum ego vermis et non homo sum,
Opprobrium in hominibus, plebi vero stolida ab-[jectio.
Omnino me deriserunt, qui antea videbant oculis,
Labiis locuti sunt, caput vero elatum moverunt.
B In Deum spem sortitus est, eripiat eum calamitate:
Auferat a malo, si ipsi gratus est.
Fetificante latibulo, Rex, tu me extraxisti ventre :
Spem voco te et ab uberibus parientis :
Tibi confisus eram penetralia uteri adhuc habitans.
Ipse meus Deus es charæ in ventre matris.
Ne a me discedas, quoniam mihi prope dies ne-[cessitatis,
Neque egenti mihi adjutor alius est.
Multi sane cornuti circumdederunt me vituli,
Pingues vero in his obsederunt me tauri,
Circum me excitarunt suum os graviter aperientes,
Sicut leo perniciosus rugiens rapaci animo.
Sicut vero aqua effusa dispersa sunt mea ossa omnia:
Cera tanquam, cor liquescit ventre medio :
C Aruit infirmæ similis testæ virtus.
Lingua mea gutturi meo adhæsit, Princeps :
In vero finem mortis me deducentes posuerunt :
Multitudo infinita me canum circumdedit oculis,
Et me obsedit congregatio maligna peccatorum.
Nostras foderunt simul manusque pedesque :
Ossa vero oculis dinumeraverunt omnia.

Et me inspicientes neglectum dereliquerunt pariter:
Immense furentes mea diviserunt vestimenta,
Et sortibus sortiti sunt, quis meus amictus reportet.
Verum a me ne longe elongaveris auxilium.
Nostrum gladio acuto eripe cor :
Erue unicam meam a cane insolescente :
Bene me serva, Rex, ex ore torvi leonis,
D A perniciosis cornibus salva me unicornium.
Tuum nomen nuntiabo fratribus meis,
Et te in medio congregationis divinæ laudabo.
Laudem celebrent quicunque timent Regem :
Semen vero Jacobi Deum regem glorificet :
Et eum timeat omne semen Israelis.
Non enim despiciens pauperis antea oderat precem,
Nec a me avertit suum gratiosum vultum :
Sed ipsius invocantis meas exaudivit preces.
De te laus mea magno in cœtu virorum :
Piorum in conspectu chara reddam vota.
Comedentes egeni suum impleant animum :
Pastorem vero laudabunt divini immortalem viri :
Eorum animus fruatur in perpetuum vita.

Πρὸς σὲ, Μάκαρ, βοάασκον, ἐμὴν δ' οὐκ εἴσεαι αὐ-[δήν.
Οὐδὲ μάλ' ἠγνοίησα τεὸν νόον ἐν φρεσὶ νυκτός.
Ἐν δ' ἁγίῳ ναίεις, κλέος ἄσπετον Ἰσραήλου.
Ἡμετέρων πατέρων ἀριδείκετος ἐλπὶς ἐτύχθης,
Καί σφεας ἐλπομένους στυγερῶν ἐῤῥύσαο μόχθων.
Πρὸς σὲ, Μάκαρ, βοάασκον, ἑῆς δὲ σάωθεν ἀνάγκης,
Οὐδέ σευ ἀθανάτης ἀντ' ἐλπίδος αἶσχος ἐφεῦρον.
Αὐτὰρ ἐγὼ σκώληξ τε καὶ οὐκ ἄνθρωπος ἐτύχθην,
Μῶμος ἐν ἀνθρώποισι, λαῷ δ' ἀποφώλιος ὕβρις,
Πανσυδίῃ μ' ἐπέμυζαν, ὅσοι πάρος ἔδρακον ὄσσοις,
Χείλεσιν ἐφθέγξαντο, κάρη δ' ὑπέροπλον ἔσεισαν·
Εἰς Θεὸν ἐλπωρὴν ἔλαχεν, ῥύσαιτό μιν ἄτης·
Ἁρπάζοι κακότητος, εἴ οἱ καταθύμιός ἐστι,
Τεκνογόνου κευθμῶνος, Ἄναξ, σύ με λύσαο γαστρός·
Ἐλπίδα κικλήσκω σε καὶ ἐν μαζοῖσι τεκούσης·
Σοὶ πίσυνος γενόμην μυχὰ νηδύος εἰσέτι ναίων.
Αὐτὸς ἐμὸς Θεός ἐσσι φίλης ἐν γαστέρι μητρός.
Μή μευ ἀποσταίης, ὅτι μοι πέλας ἦμαρ ἀνάγκης,
Οὐδ' ἐπιδευομένῳ μοι ἐπίῤῥοθος ἄλλος ἐτύχθη·
Πολλοὶ μὲν κερόεντες ἐκυκλώσαντό με μόσχοι,
Ζατρεφέες δ' ἐπὶ τοῖσι περιστιχόωντό με ταῦροι,
Ἀμφί μοι ὡρμήθησαν ἑὸν στόμα δεινὰ χανόντες,
Οἷα λέων ὀλοὸς βρυχώμενος ἅρπαγι θυμῷ.
Ὡς δ' ὕδωρ προχυθὲν κεκέδαστό μευ ὀστέα πάντα·
Κηρὸς ὅπως, κραδίη κατετήκετο γαστέρι μέσσῃ
Τέρσετο ἠπεδανῷ πανομοίιος ὀστράκῳ ἀλκή.
Λαλὶς ἐμεῖο λάρυγγι ἐμεῦ νυ κεκόλληται, Ἐσσήν·
Ἐς δὲ τέλος θανάτου με καθελκύσαντες ἔθεντο·
Ἐσμὸς ἀπειρέσιός με κυνῶν κυκλώσατο ὄσσοις,
Καί με περίστιξε κλισίη κακοεργὸς ἀλιτρῶν.
Ἡμετέρους ὤρυξαν ὁμοῦ χεῖράς τε πόδας τε·
Ὀστέα δ' ὀφθαλμοῖσιν ἀπηρίθμησαν ἅπαντα.

Καί με διοπτεύσαντες ἀκηδέα κάλλιπον αὔτως·
Ἄπλετα λυσσώοντες ἐμοὺς δάσσαντο χιτῶνας,
Καὶ κλήροις πεπάλαχθεο, ὅτις κ' ἐμὰ πέπλα κομίσσοι,
Ἀλλ' ἐμέθεν μὴ νόσφιν ἀποπλάγξειας ἀρωγήν.
Ἡμέτερον ξίφεος τανυήκεος ἅρπασον ἦτορ·
Ῥύσεο μουνογένειαν ἐμὴν κυνὸς ὑβριστῆρος·
Εὖ με σάω, Βασιλεῦ, στόματος βλοσυροῖο λέοντος.
Ἐξ ὀλοῶν κεράων ῥύσαιό με μουνοκερήων.
Σοῦ ὄνομ' ἀγγείλαιμι κασιγνήτοισιν ἐμοῖσι,
Καί σε μέσον κλισίης θεοτερπέος ὑμνοπολεύσω.
Αἶνον ἀεισάντων ὁπόσοι φρίσσουσιν Ἄνακτα·
Σπέρμα δ' Ἰακώβοιο Θεὸν βασιλῆα γεραίροι,
Καί μιν ὑποδδείσειεν ἅπας σπόρος Ἰσραήλου.
Οὐ γὰρ ὀνοσσάμενος πτωχοῦ πάρος ἔστυγεν εὐχὴν,
Οὐδ' ἀπ' ἐμεῦ ἔστρεψεν ἑὴν χαρίεσσαν ὀπωπήν·
Ἀλλά ἑ κικλήσκοντος ἐμῶν ἐπάκουσε λιτάων.
Ἐκ σέθεν αἶνος ἐμὸς μεγάλην μεθ' ὁμήγυριν ἀνδρῶν·
Εὐσεβέων κατέναντι φίλας τίσαιμι θυηλάς.
Δαισάμενοι χατέοντες ἑὸν πλησαίατο θυμόν·
Ποιμένα δ' αἰνήσουσι θεουδέες ἄφθιτον ἄνδρες·
Αὐτῶν θυμὸς ὄναιτο διηνεκέως βιότοιο.

Ἀθανάτου μνήσαιντο παλινόρομα πείρατα γαίης,
Καί μιν γουνάσσονται ἐνωπαδὸν ἔθνεα πάντα.
Θείη κοιρανίη, καὶ ἄναξ Θεὸς ἔπλετο δήμων.
Δαισάμενοι λιτάνευσαν ἀριπρεπέες χθονὸς ἄνδρες·
Ἄντα ἑ γουνάσσονται ὅσοι χθονὸς ἔρχατ' ἔνερθεν.
Ζῇ δ' οἱ θυμὸς ἐμὸς, φῦλον δέ μευ αὐτῷ ἔριθον.

Ὀψιγόνων τάδε φῦλα Θεῷ φρασάτω βασιλῆι.
Οὐρανοὶ εὐδικίην ἀγαθὴν ἐρέουσι Θεοῖο
Λαῷ ἀεξομένῳ, τὸν ἀγήραος ἔκτισεν Ἐσσήν.

## ΨΑΛΜΟΣ ΚΒ'.

Εἰκοστὸν ἡδὺ δεύτερόν τε μέλπεται,
Τῷ καλλινίκῳ τοῦτο Δαυΐδῳ μέλος.

Οὔ τινος Ἀθάνατος μ' ἐπιδευέα πάγχυ νομεύων,
Εὖ γε παρὰ χλοάοντι κατεστηρίξατο χώρῳ·
Θυμὸν ὑπ' ὀλίστοις ἀμπαύματος ὕδασι φέρβεν.
Ἐξ ὀλιγηπελίης παλινάγρετον ἦτορ ἔγειρε·
Πρὸς δὲ δικαιοσύνης ἱερὰς ἴθυνεν ἀταρπούς,
Εἵνεκεν ἀθανάτοιο μεγασθενέος Βασιλῆος.
Εἰ γάρ κεν θανάτοιο μέσον σκιόεντος ὁδεύσω,
Οὔ κεν ὑποδδείσαιμι τεῇ περιθάρσυνος ἀλκῇ.
Σκῆπτρόν σευ ῥοπαλόν τε παραιφασίην φρενὸς ἔσχον.

Ἀθανάτην μοι, Ἄναξ, παρεθήκαο σεῖο τράπεζαν,
Ῥιγεδανῶν βρίθουσαν ἐμῶν κατ' ἐναντίον ἐχθρῶν.
Νωιτέρην ἀγαθῷ κεφαλὴν πίηνας ἐλαίῳ·
Οἷάπερ εὐφροσύνης σέο μοι δέπας ἔμπεδον ἔστω.
Σεῖο διηνεκέως ἐλεημοσύνη με διώκοι,
Ἤμασι μηκεδανοῖσι Θεοῦ ναίοντα μέλαθρα.

## ΨΑΛΜΟΣ ΚΓ'.

Πρὸς κλεινὸν ἦμαρ Σαββάτου πρῶτον, μέλος
Δαυΐδος ἠλάλαξεν εἰκοστὸν τρίτον.

Χθὼν βασιλῆος ἔφυ, καὶ ὅσος χθονὸς ἔπλετο κόσμος,
Ἄστεα, καὶ ξύμπαντες ὅσοι περιναιετάουσιν.
Αὐτός μιν κατένασσεν ἐπ' ἀτρυγέτοιο θαλάσσης,
Καὶ ποταμῶν καθύπερθεν ἑῇ τεχνήσατο βουλῇ.
Τίς βροτέης γενεῆς ἐπιβήσεται οὔρεϊ θείῳ;

Ἢ τίς ἐπ' εὐαγέος δαπέδου φίλον ἴχνος ἐρείσει;
Ὃς καθαρὰς παλάμας κραδίην τ' ἄχραντον ἔχῃσιν,
Οὔποτε μαψιδίοισιν ἑὸν θυμὸν ἠπεροπεύσας,
Οὐδ' ὅρκον δολόεντα φίλῳ παρὰ μοῖραν ὀμόσσας·

Οὗτος ὑπ'(24-25) ἀθανάτοιο κομίσσεται αἶνον Ἄνακτος·
Θεσπεσίην δ' ἐλεητὴν ἄφαρ Σωτῆρος ἐφεύροι.

Ἥδε Θεὸν βασιλῆα βροτῶν ποθέουσα γενέθλη,
Ἐλδομένη Θεὸν αὐτὸν Ἰακώβοιο νοῆσαι.
Ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες,
Εὖ δ' ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες·
Ὣς κέν γ' εὐκλείης βεβαιῶς παρελεύσεται Ἐσσήν.
Τίς ὅδε δ' εὐκλείης Βασιλεὺς ἄχραντος ἐτύχθη;
Ἀθάνατος σθεναρός τε, καὶ ἀπροτίοπτος ἐρωῇ,
Ἀθάνατος, μενέχαρμος, ἀεὶ περὶ κάρτεϊ γαίων.
Ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες,
Εὖ δ' ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες.
Ὣς κέν γ' εὐκλείης μεμαὼς παρελεύσεται Ἐσσήν.

(24-25) Ὑπ' ἀθανάτοιο. Forte. ἀπ' ἀθ. EDIT.

A Immortalis reminiscentur recurrentes termini terræ,
Et eum adorabunt palam gentes omnes.
Divinum regnum, et rex Deus est populorum.
Manducantes adoraverunt præstante terræ viri.
In conspectu ejus cadent qui terram veniunt infra.
Vivit vero ipsi anima mea, cognatio vero mea ipsi ancilla.
Posterorum ista cognationes Deo dicant regi.
Cœli justitiam bonam annuntiabunt Dei
Populo aucto, quem æternus fecit Princeps.

## PSALMUS XXII.

*Vicesimum dulce secundumque cantatur,*
*Victori istud Davidi carmen :*

Nullius Immortalis me egentem prorsus pascens,
B Bene quidem in viridi collocavit loco :
Animum sub beatissimis silentii aquis educavit.
Ab infirmitate mutabile cor erexit :
Super vero justitiæ sacras direxit vias,
Propter immortalem magnanimum Regem.
Si enim mortis medium opacæ gradiar,
Non timebo tuo fretus robore.
Virga tua baculusque consolationem mentis habuerunt.
Immortalem mihi, Rex, apposuisti tuam mensam,
Rigidorum onustam meorum in conspectu hostium.
Nostrum bono caput impinguasti oleo :
Veluti lætitiæ tuum mihi poculum firmum sit.
Tua perpetuo misericordia me subsequatur.
Diebus longis Dei habitantem palatia

## PSALMUS XXIII.

C *Ad inclytum diem Sabbati primum, cantilenam*
*David jubilavit vicesimam tertiam.*

Terra Regis est, et quicunque terræ est ornatus,
Urbes, et universi qui circum habitant.
Ipse eam fundavit super indomitum mare,
Et flumina super suo præparavit consilio,
Quis mortalis generationis ascendet montem divinum ?
Aut quis in sancto loco charum vestigium firmabit?
Qui puras manus corque mundum habuerit,
Nunquam vanis animam suam decipiens,
Neque jusjurandum dolosum amico præter decens jurans:
Hic ab immortali accipiet laudem Rege :
Divinam vero misericordiam cito Servatoris consequatur.
D Hæc Deum regem mortalium requirens generatio,
Desiderans Deum ipsum Jacobi scire.
Vestras statim portas attollite, principes,
Probe vero elevamini, portarum validi vectes :
Ut gloriæ gradiens introeat Princeps.
Quis iste vero gloriæ Rex purus est ?
Immortalis, fortisque, et non provisus impetu,
Immortalis, bellicosus, semper de viribus exsultans.
Vestras statim portas attollite, principes,
Probe vero elevamini, portarum validi vectes :
Ut gloriæ promptus introeat Princeps,

Quis vero iste gloriæ Rex purus est ?
Solus Rex virtutum, iste gloriæ æternus Princeps.

## PSALMUS XXIV.

*Quartum vicesimumque carmen David cecinit.*

Tibi confisus, Rex, attollo animum :
Neque confidens tibi notam turpem reportem,
Neque risus infestos apud hostes fiam.
Non culpandi enim omnes, quibus Deus spes est.
Vanorum factores confundantur malis :
Aperte intelligam, Beatissime, tuas vias :
Et me semitas bonasque divinasque docens,
Tua in veritate me multum optanda dirigas,
Ut vero auxiliator bonus me decentia omnia doceas.
Supplicansque indesinenter diurnum cursum traho.
Verum tuæ misericordiæ reminiscaris,
Ab antiquo apud omnes tribuas misericordem animum.
Ne meæ superbiam periculosæ memineris juventutis.
Bene vero Deus genitus, miseratione digna facias,
Propter honorandi bonitatem Regis.
Mansuetusque et rectus Deus semper est.
Propter hoc delinquentibus sanctam viam indixit mente.
Viros justitiæ diriget mansuetos,
Et vias suas placidis declarabit.
Immortalis universæ veræ sunt viæ,
Testimonium requirentibus testamentumque Dei.
Propter immortalem magnanimum Regem,
Peccati multis meis propitius sis.
Quis tantum Immortalem timens homo est ?
Ad virtutem properans divinam legem perficiat,
Semper in beatissimis cor lætum pascens,
Et terram pretiosam sui hæreditabunt liberi.
Immortalem timentibus sit multum robur :
Nomen Immortalis fert timentibus utilitatem,
Testamentum clarum suum illis ut luceat.
Semper oculum suspendi ad Deum,
Quoniam meos doloso laqueo extraxit pedes.
Cœlitus mihi, Rex, omnia intuentem extende vultum
Quia unicus aliquis ego et pauper sum.
Animæ nostræ multæ premunt tribulationes,
Sed de rigida eruet ipse necessitate.
Imbecillitatem et laborem videns meum, propitius sis.
Multitudinem meorum hostium respice crudelium,
Qui mihi irati nefandum odium posuerunt.
Animam nostram custodi, et me serva :
Neque me capiat turpitudo, quoniam tu mihi spes es.
Tui causa rectos et mites inveni sodales.
Israelem ex omni liberes necessitate.

## PSALMUS XXV.

*Davidis quintusque et vicesimus est hymnus.*

Nostro dijudices, Rex, miti animo :
Ne me infirmitas fretum Rege domet.
Si vero age, experire, et meum explora consilium :
Renes et cor probes circumfovente flamma.

A Τίς δ' ὄγε (26) δ' εὐκλείης Βασιλεὺς ἄχραντος ἐτύχθη ;
Μοῦνος Ἄναξ σθενέων, ὅδε κύδεος ἄφθιτος Ἐσσήν.

## ΨΑΛΜΟΣ ΚΔ'.

Τέτρατον εἰκοστόν τε μέλος Δαυΐδος ἄεισε.

Τοὶ περιθαρσείης, Βασιλεῦ, μεγαλίζομαι ἦτορ.
Μηδ' ἐπιπιστεύσας τοι, ἐλεγχέα μῶμον ἑλοίμην,
Μηδὲ γέλως ὀλοοῖσι παρ' ἀντιβίοισι γενοίμην.
Ἀψεγέες γὰρ πάντες, ὅσοις Θεὸς ἐλπὶς ἐτύχθη.
Μαψιδίων πρηκτῆρες ἐπαισχύνοιντο κακοῖσιν·
Ἀμφαδίην γνοίημι, Μακάρτατε, σεῖο κελεύθους·
Καί με τρίβους ἀγαθάς τε θεοδμήτους τε διδάσκων,
Σὴν μετ' ἀληθείην με πολύλλιτον ἡγεμονεύοις,
Ὡς δ' ἀλκτὴρ ἀγαθός με ἐοικότα πάντα διδάσκοις.
Λισσόμενός τε ἄληκτα πανημέριον δρόμον ἕλκω.
Ἀλλὰ τεῆς ἐλεημοσύνης μεμνημένος εἴης,
B Ἐκ παλαιῆς μετὰ πᾶσι νέμοις οἰκτίρμονα θυμόν.
Μη μευ ἀτασθαλίην σφαλερῆς μεμνησαι (27) ἥβης.
Εὖ δὲ Θεὸς γεγαὼς, ἐλεητύος ἄξια ῥέζοις,
Εἵνεκα τιμήεντος ἐνηείης Βασιλῆος.
Πρηΰνοός τε καὶ ἰθύδικος Θεὸς αἰὲν ἐτύχθη
Τοὔνεχ' ἁμαρτινόοις ὁσίην ὁδὸν ἔφρασε θυμῷ.
Ἀνδρῶν εὐδικίης ἡγήσεται ἠπιοθύμων,
Καὶ ἀτραποὺς σφετέρας ἀγανόφροσιν ἐξαναφαίνοι.
Ἀθανάτου πᾶσαι νημερτέες εἰσὶν ἀταρποὶ,
Μαρτυρίην μεθέπουσι συνημοσύνην τε Θεοῖο.
Εἵνεκεν ἀθανάτοιο μεγασθενέος Βασιλῆος,
Ἀμπλακίαις πυκινῇσιν ἐμαῖς πέρι ἵλαος εἴης.
Τίς τόσον Ἀθάνατον τρομέων ἄνθρωπος ἐτύχθη ;
C Εἰς ἀρετὴν σπεύδων θεοτερπέα θεσμὸν ἀνύσσοι,
Αἰὲν ἐπ' ὀλβίστοις κραδίην πολυγηθέα βόσκων.
Καὶ χθόνα τιμήεσσαν ἑοὶ κτησαίατο παῖδες.
Ἀθάνατον τρομέουσι πέλοι περιώσιος ἀλκή·
Οὔνομα Ἀθανάτοιο φέρει τρομέουσιν ὄνειαρ,
Συνθεσίην ἀρίδηλον ἑὴν σφίσιν ὄφρα φαείνῃ.
Νωλεμέως ὀφθαλμὸν ἀπῃώρησα Θεοῖο,
Οὕνεκά μευ δολεροῖο πάγης ἐξέσπασε πέζας.
Οὐρανόθεν μοι, Ἄναξ, πανδερκέα τεῖνον ὀπωπὴν,
Οὕνεκα μονογενής τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην,
Ψυχῆς ἡμετέρης πυκιναὶ βρίθουσιν ἀνίαι·
Ἀλλά γε ῥιγεδανῆς ἀπολύσεται αὐτὸς ἀνάγκης.
Ἀδρανίην καὶ μόχθον ἰδὼν ἐμὸν ἵλαοι εἴης.
Πληθὺν ἐμῶν δηίων ἐπιδέρκεο νηλεοθύμων,
Οἵ μοι ὀδυσσάμενοι, ἀθεμίστιον ἔχθος ἔθεντο.
D Ψυχῆς ἡμετέρης περικήδεο, καί με φύλασσε·
Μηδέ μ' ἕλοι ποθὲν αἶσχος, ἐπεὶ σύ μοι ἐλπὶς ἐτύχθης.
Σεῦ ἕνεκ' ἰθυνόους καὶ ἐνηέας εὗρον ἑταίρους.
Ἰσραήλου πᾶσαν ἀλεξήσειας ἀνάγκην.

## ΨΑΛΜΟΣ ΚΕ'.

Δαυΐδου πέμπτος τε καὶ εἰκοστὸς πέλει ὕμνος.

Ἡμετέρῳ δικάσειας, Ἄναξ, ἀγανόφρονι θυμῷ·
Μή μ' ὀλιγηπελίη πίσυνον Βασιλῆι δαμάσσῃ.
Εἰ δ' ἄγε, πείρησαι, καὶ ἐμὴν σκοπιάζεο βουλήν.
Νεφροὺς καὶ κραδίην κρίνοις περιθαλπέϊ πυρσῷ.

(26) Ὄγε. Forte, ὅδε, ut supra. EDIT.

(27) Μέμνησαι. Forte, μεμνῆσθαι. ID.

Ὀφθαλμῶν ἐλεητὺς ἐμῶν σέθεν ἀντίον ἐστὶ,
Καί σευ ἀληθείῃ γενόμην καταθύμιος αἰεί.
Οὔποτε μαψιδίοισι μολὼν ἐκάθισα θώκοις,
Οὐδ' ἐπαγειρομένοισι συνέμπορος ἦλθον ἀλείταις.
Τέκτοσιν ἀμπλακίης ὀλοῆς ἤχθηρα παρεῖναι·
Δυσσεβέων δ' ἀθέριξα κακὴν καὶ ὑπέρβιον ἕδρην,

Ἀχράντοισιν ἐμὰς ἀπονίψομαι ὕδασι χεῖρας,
Καὶ σέο βωμόν, Ἄναξ, πανακήρατον ὑμνοπολεύσω
Εἰσόκεν εὐφήμοιο βοῆς κλυτὸν αἶνον ἀείσω,
Καὶ σέο θέσκελα ἔργα περιφραδέως ἀγορεύσω.
Θεσπεσίων ἀρίδηλον ἕδος ἐπόθησα μελάθρων,
Ὄλβιστον δ' ἀνάπαυμα τεῆς ἐρικυδέος ἀλκῆς.
Μηδέ μευ θυμὸν, Ἄναξ, μετὰ δυσσεβέεσσιν ὀλέσσῃς,
Μηδὲ μετ' ἀνδροφόνοισι βίου ποτὲ μοῖραν ὀπάσσῃς·

Κείνων ὧν γεγάασιν ἀτασθαλίαι παλάμῃσι,
Καί σφεων δεξετεραὶ μογεροῖς βρίθουσ' ὑπὸ δώροις.

Αὐτὰρ ἐγὼ σπεύδων βίον ἤλασα μείλιχον αἰεί·
Ῥυσάμενός μ' οἴκτειρον, ἐπεὶ σταθερὸν λάχον ἴχνος·

Καί σε, Μάκαρ, μέλψαιμι παρακλήσεσσι λιγαίνων.

## ΨΑΛΜΟΣ ΚϚ'.

Πρόσθεν ἀνακτορίης γεραρῆς Δαυΐδος ἀμύμων
Ἕκτον ἐεικοστόν τε σοφὸν τεχνήσατο κῶμον.
Ἄλκαρ ἐμὸν καὶ φέγγος, Ἄναξ· τίνα δειμαίνοιμι;
Αὐτὸς ἐμεῦ βιότοιο πρόμος· τίς κέν με φοβοίη;
Σαρκοφάγοι μεμαῶτες ἐμοῖς μελέεσσι πελάσσαι,
Κάππεσον ἀδρανίῃ δήιοι καὶ ἀνάρσιοι ἄνδρες,
Οὐκ ἀλέγω, οὐδ' εἴ μοι ἅπας στρατὸς ἀντίος ἔλθοι·

Ἐλπὶς ἐμὴ Θεός ἐστι· τί μοι δέος ἔπλετο χάρμης;
Ἓν λιτόμην θεόθεν, τὸ δέ μοι τριπόθητον ἐτύχθη,
Ναιετάειν μεγάροισι διητεκέως Βασιλῆος,
Αἰεὶ θεσπεσίην σκοπιαζέμεν ὄμμασι τέρψιν,
Αἰεὶ νηὸν Ἄνακτος ἀκήρατον ἀμφιπολεύειν.
Ὥρῃ ἀναγκαίῃ κλισίῃσί με κεῦθεν ἑῇσιν,
Ἀθανάτης καλύβης με παρ' ἐνδομύχοισι καλύπτων,
Ἠλιβάτου περίπυστον ὑπὲρ πέτρης ἀναείρας.
Νῦν δ' ἐμὸν ὧδ' ἀνάειρεν ἐπ' ἀντιβίοισι κάρηνον.
Θείην ἀμφέρρεξα θύος, κλισίην ἀλαλάζων.

Ἀθάνατον ψαλμοῖσι καὶ εὐεπίῃσιν ἀείσω.
Πρὸς σὲ, Μάκαρ, βοόωντος ἐμῆς ἐπικέκλυθι φωνῆς.
Κέκλυθι, καί μ' ἐλέαιρε· νόος δέ τοι εἶπεν ἐμεῖο·
Νωιτέρη μέμονε κραδίη τεὸν ὄμμα νοῆσαι.
Σὸν φάος εὐάντητον ἀεὶ διζήμενος εἴην.
Μή μευ σὴν χαρίεσσαν ἀποστρέψειας ὀπωπὴν,
Μηδὲ παρακλίνειας ὀδυσσάμενος θεράποντι.
Αὐτὸς, Ἄναξ, ἐπίκουρος ἔοις, καὶ μή με μεθείης,
Μηδέ με καλλείψειας, ἐὼν Θεὸς αἰὲν ἀμύντωρ.
Οὕνεκα δή με πατὴρ καὶ πότνια κάλλιπε μήτηρ,

Ἀθάνατος δ' ὑπέδεκτο καὶ ἐξεσάωσε φυλάσσων.
Σῇσι, Μάκαρ, θέσπισον ἀεὶ βαίνειν με κελεύθοις·
Εἵνεκα δυσμενέων ἀγαθῇ μ' ἴθυνον ἀταρπῷ.
Μή με πόροις ψυχῇσιν ἑλώριον ἔμμεναι ἐχθρῶν·
Οὕνεκά μευ κατέναντ' ἄδικοι ἐπιμάρτυροι ἔσταν·

A Oculos misericordia meos tua ante est,
Et tua veritate factus sum jucundus semper.
Nunquam vanis profectus sedi in sedibus,
Neque congregatis comes ivi peccatoribus.
Auctoribus erroris perniciosi odi adesse:
Impiorum vero reprobavi malam et superbam se-[dem.

Puris meas lavabo aquis manus,
Et tuum altare, Rex, immaculatum prædicabo,
Donec faustæ vocis inclytam laudem cantabo,
Et tua divina opera sedulo narrabo.
Divinorum manifestam sedem dilexi palatiorum,
Beatissimam vero quietem tui præclari roboris.
Neque meam animam, Rex, cum impiis perdas,
Neque cum homicidis vitæ aliquando partem po-[nas:

B Illorum quorum sunt iniquitates in manibus,
Et ipsorum dexteræ laboriosis gravantur sub mu-[neribus.

Sed ego sedulus vitam duxi placidam semper:
Redimens mei miserere, quoniam firmum adeptus [sum vestigium:

Et te, Beate, canam, exhortationibus prædicans.

## PSALMUS XXVI.

*Ante imperium honoratum David inculpatus*
*Sextum vicesimumque doctum fecit cantum.*
Auxilium meum et lumen, Rex: quem timeam?
Ipse meæ vitæ protector: quis me terreat?
Carnivori cupientes meis membris propinquare,
Ceciderunt imbecillitate hostes et infesti viri.
C Non curo, neque si mihi universus exercitus ad-[versus veniat:

Spes mea Deus est: quid mihi est prælii?
Unum petii a Deo, istud mihi optatissimum est,
Habitare in palatiis semper Regis,
Semper divinam contemplari oculis voluptatem,
Semper templum Regis impollutum frequentare.
Tempore necessario tabernaculis me abscondit suis,
Immortalis tentorii me in abditis tegens,
Excelsa celebrem in petra exaltans.
Nunc vero meum sic exaltavit super inimicos caput.
Divinum immolavi suffimentum, tabernaculum vo-[ciferans.

Immortalem psalmis et bonis verbis cantabo
Ad te, Beate, clamantis meam exaudi vocem.
D Audi et me miserare; mens vero tibi dixit mea:
Nostrum cupivit cor tuum vultum videre.
Tuum lumen propitium semper quærens eram.
Ne a me tuum gratum avertas vultum,
Neque declines successus famulo.
Ipse, Rex, adjutor sis, et ne me derelinquas,
Neque me despicias, exsistens Deus semper vindex
Quoniam sane me pater et veneranda dereliquit [mater,

Immortalis vero assumpsit et eripuit custodiens.
Tuis, Beate, statue semper ingredi me viis,
Propter inimicos bona me dirige semita.
Ne me tradas libidini prædam esse hostium:
Quoniam me contra iniqui testes surrexerunt;

Sibi iniquitas injustis mentita est vitiis.
In terra beatorum Deum videbo oculis beatum.
Spem regi Deo commenda omnem,
Confide, et tuus animus semper fortissimus sit :
Spem regi Deo commenda omnem.

## PSALMUS XXVII.

*Vicesimum septimumque Davidis carmen.*

Ad te, Beate, clamo, silentio autem ne me præter-[eas,
Ne te quiescente cohibenteque silentio,
Fundum habitantibus subterraneum similis fuerim.
Precationem exaudi meam, Beate, supplicantis,
Dum ad sanctum manus tuum templum attollo.
Ne meum peccatoribus cor una concurrens trahas,
Neque cum operariis iniquitatis me domes,
Pacem suis qui loquuntur sociis,
Dolores vero in pectoribus occultant suis.
Perniciosis recipiant laboribus æquandam calami-[tatem.
Da illis, o Rex, suis respondentia operibus :
Qualiaque manibus fecerunt, similiter reportent [dona :
Mercedem accipiant justitiæ gratam quorum dede-[runt aliis :
Immortalis quoniam prorsus erant immemores [operum,
Operum vero obliti sunt Dei magni manuum.
Semper ipsos destruas, et nunquam prorsus excites.
Immortalis multum laudandus meam Deus audivit [vocem.
Ipse Rex adjutor meus protectorque meus est :
Novi mente, quantum spes reperit lucrum auxilii.
Frondosisque refloruit meum corpus æque foliis.
Et ipsi ultro bonamque et magnam laudem canam.
Semper Rex populi vis et robur est,
Sui christi semper protector.
Populum tuum et hæreditatem præclaram serves,
Et ipsos perpetuo bonis extolle regens.

## PSALMUS XXVIII.

*Octavum vicesimumque carnem per tabernaculum iens.*
***David resonuit, docta cithara modulans.***

Afferte Domino Deo, magnanimi filii,
Afferte Domino Deo teneros agnos :
Afferte honorato verum decus Regi :
Atrio in sancto adorate Pastorem mundi.
Immortalis resonuit super aquas intrepida vox,
Princepsque gloriæ inclytus intonuit.
Ipse Rex multas super aquas circumivit.
Vox Domini suo immensa robore,
Vox Domini præclaris in operibus,
Vox divina proceras confregit cedros.
Immortalis cedros validas Libani frangat,
Minutas faciens Libani tanquam vitulum,
Unigenitus vero velut filius montigena unicornis.
Divina intercidens ignis flammam Pastoris vox,
Feras nutrientis concutiens Dei vox deserti.
Agrestis deserta Cades Deus commoveat.
Incipientibus cervis cursum sonus par Regis,

A Αὐτῇ δυσνομίη δ' ἀδίκοις ἐψεύσατο λώβαις.
Ἐν γαίῃ μακάρων Θεὸν ὄψομαι ὄμμασιν ὄλβον.
Ἐλπωρὴν βασιλῆϊ Θεῷ παρακάτθεο πᾶσαν·
Θάρσει, καὶ σέο θυμὸς ἀεὶ κρατερώτατος ἔστω·
Ἐλπωρὴν βασιλῆϊ Θεῷ παρακάτθεο πᾶσαν.

## ΨΑΛΜΟΣ ΚΖ'.

Εἰκοστὸν ἕβδομόν τε Δαυΐδου μέλος.

Πρὸς σὲ, Μάκαρ, βοόω, σιγῇ δέ γε μή με παρέλθοις.
Μὴ, σέθεν ἠρεμέοντος ἐρυκομένου τε σιωπῇ,
Πυθμένα νισσομένοις χθόνιον πανομοίιος εἴην.
Εὐχωλῆς ἐπάκουσον ἐμῆς, Μάκαρ, ἀντομένοιο,
Εὖτε πρὸς ἄχραντον παλάμας σέο ναὸν ἀείρω.
Μή μευ ἁμαρτινόοις κραδίην ἅμα σύνδρομον ἕλκοις,
Μηδὲ μετ' ἐργατίνησι κακορραφίης με δαμάσσῃς,
B Εἰρήνην σφετέροισιν ὅσοι λαλέουσιν ἑταίροις,
Ἄλγεα δ' ἐν στέρνοισι κατακρύπτουσιν ἑοῖσιν.
Οὐλομένων δέξοιντο πόνων ἀντάξιον ἄτην.
Δός σφισιν, ὦ Βασιλεῦ, σφετέρων ἀντάξια ἔργων·
Οἷά τε χερσὶν ἔρεξαν, ὁμῶς κομισαίατο δῶρα·
Μισθὸν ἕλοιντο δίκῃ μεμελημένον ὧν δόσαν ἄλλοις·
Ἀθανάτου ὅτι πάμπαν ἔσαν ἀμνήμονες ἔργων,
Ἔργων δ' ἐξελάθοντο Θεοῦ μεγάλων παλαμάων.
Αἰεί σφεας καθέλοις, καὶ μήποτε πάμπατε ἐγείροις·
Ἀθάνατον πολύαινος ἐμῆς Θεὸς ἔκλυεν αὐδῆς,
C Αὐτὸς Ἄναξ ἐπίκουρος ἐμὸς πρόμαχός τε τέτυκται·
Οἶδα νόῳ, πόσον ἐλπὶς ἐφεύρατο κέρδος ἀρωγῆς.
Ὑψικόμοις τ' ἀνέθηλεν ἐμὸν δέμας ἶσα πετήλοις.
Καί οἱ ἑκὼν ἀγαθόν τε καὶ ἄσπετον αἶνον ἀείσω.
Αἰὲν Ἄναξ λαοῖο βίη καὶ κάρτος ἐτύχθη,
Σφωιτέρου χριστοῖο διηνεκέως προμαχίζων
Λαὸν σὸν καὶ κλῆρον εὐκλήεντα σαώσοις,
Καὶ σφέας ἠνεκέως ἀγαθοῖς ἀνάειρε νομεύων

## ΨΑΛΜΟΣ ΚΗ'.

Ὄγδοον εἰκοστόν τε μέλος κλισίηθεν ὁδεύων,
Δαυΐδος κελάδησε σοφῇ φόρμιγγι λιγαίνων.

Οἴσετε παμβασιλῆϊ Θεῷ, μεγαλαυχέες υἷες,
Οἴσετε παμβασιλῆϊ Θεῷ ἀπαλόχροας ἄρνας·
Οἴσετε τιμήεντι φερώνυμον εὖχος Ἄνακτι·
Αὐλῇ ἐν ἀχράντῳ λιτανεύσατε Ποιμένα κόσμου.
D Ἀθανάτου βόμβησεν ἐφ' ὕδασιν ἄτρομος αὐδή,
Ἀρχός τ' εὐκλειής ἀριδείκετος ἐβρόντησεν.
Αὐτὸς Ἄναξ πολέεσσιν ἐφ' ὕδασιν ἀμφιβέβηκε.
Φωνὴ Παμβασιλῆος ἑῇ περιώσιος ἀλκῇ,
Φωνὴ Παμβασιλῆος ἀριπρεπέεσσιν ἐν ἔργοις,
Φωνὴ θεσπεσίη περιμήκεας ἔθλασε κέδρους·
Ἀθάνατος κέδρους βριαρὰς Λιβάνοιο κεάσσοι,
Λεπταλέας τεύχων Λιβανήιον οἷά τε μόσχον,
Μουνογενὴς δ' ἅπερ υἱὸς ἀρέστερος οἰοκερῆος.
Θεσπεσίη τέμνουσα πυρὸς φλόγα Ποιμένος αὐδὴ,
Θηροκόμου δονέουσα Θεοῦ διὰ γῆρυς ἐρήμου.
Ἀγροτέρης πανέρημα Κάδης Θεὸς ἀμφελελίζοι.
Ἀρχομένοις ἐλάφοισι δρόμου θρόος ἶσος Ἄνακτος,

Ὅς τε λίην βόμβησεν ἀπὸ δρυμὰ καλύψων.
Πᾶς δέ τις ἐν νηῷ μάκαρος Θεοῦ εὖχος ἀείσοι.

Ναιετάει Βασιλεὺς ἀρετὰς κρουνηδὸν ἰούσας.
Ἀθάνατος καὶ ἄπαυστος Ἄναξ θώκοισι θοάσσοι·
Αὐτὸς ἑοῖσι βίην ἄῤῥηκτον ὀπάζοι·
Αὐτὸς ἐν εἰρήνῃ ζωαρκεῖ λαὸν ἀέξοι.

## ΨΑΛΜΟΣ ΚΘ'.

Εἰκοστὸν κελάδησε καὶ εἴνατον ἱερὸν ᾆσμα
Δαυΐδος πινυτὸς δωμησάμενος νέον οἶκον.

Σὸν κράτος ὑψώσαιμ', ὅτι με προσεδέξαο, Ποιμὴν,

Οὐδέ μ' ἐπευχομένοις δηΐοις δωρήσαο χάρμα.
Ἠμάτιος βοάασκον, ἐμὴν δ' ἰήσαο νοῦσον.
Ψυχὴν δ' ἐξ ἀΐδαο παλίσσυτον ἦγες ἐμεῖο,

Καί με κατερχομένων ὑπὸ πυθμένα ῥύσαο γαίης.
Εὐαγέες, μελέεσσι Θεὸν φορμίξατε θείοις,
Καὶ οἱ ἀκηράσιον μνημήιον αἰνετὸν ἔστω.
Οὕνεκα μηνίσαντι Θεῷ κότος ἐστὶ βαρύφρων,
Καὶ μεταμηνίσαντι φάος πραπίδεσσι βιώνης.
Ἑσπέριον κλαυθμὸν τέρψις μεταμείψεθ' ἑῴη·
Εὔθυμος δ' εἶπον, σάλος ὅττι μοι οὔποθεν εἴη.

Κάλλεϊ νωιτέρῳ σθένος ἄφθιτον ἐκ σέθεν ἔστω.
Ὄμμα σέθεν τρέψαντος, ἐμὰ κλόνος εἵλετο γυῖα.

Πρὸς σὲ, Μάκαρ, βοάων, λίτομαι Θεὸν αἰὲν ἐόντα.

Τί πλέον εἰ πόρον αἷμα, καὶ εἰς ἀΐδαο κατῆλθον;

Μή σε κόνις μέλψειεν, ἀληθείην δ' ἀγορεύσει;
Εἰσαΐων μ' ἐλέησεν Ἄναξ, καὶ ἐπίῤῥοθος ἔστη·
Θρῆνον ἐμὸν μετέθηκε, γόου δ' ἠλλάξατο χάρμα.

Εὐφροσύνην ἔζωσεν, ἔρυξε δὲ πένθιμον ἦμαρ.
Φορμίζειν σ' ἐμὸς ὄλβος, ὅλον δέ με καίνυται οἴμη.

Ἄφθιτε Παμβασιλεῦ, σὲ διηνεκέως ἀναμέλψω.

## ΨΑΛΜΟΣ Λ'.

Τήνδε τριηκοστὴν ἱερὴν πεφορημένος οἴμην Πνεύματι
Δαυΐδος θεσπεσίῳ βοάει.

Μή με καταισχύνῃς γε, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.
Σῇ, Μάκαρ, εὐδικίῃ περικήδεο, καί με φύλασσε.
Ὠκύτερόν με σάω, κλίνας ἀριήκοον οὖας.
Νωίτερος Θεός ἐσσι κατὰ χρέος ἀσπιδιώτης,
Οἴκῳ ἀοσσητῆρι πανείκελος ὥς με σαώσῃς·
Αὐτὸς ἐμὸν πολυχαλκον ἕδος καὶ εὐσταθὲς ἄλκαρ.
Ἡμετέρου γεγαὼς βιότου τροφὸς ἡγεμονεύοις.
Ῥηϊδίως, Ἄχραντε, πάγης κωυφίης με σαώσοις,
Οὕνεκα νωιτέρου βιότου πρόμος ἔπλεο μοῦνος.
Πνεῦμα φίλον σέο χερσὶ φερεζώοις παραθείην.
Ἀρχὸς ἀληθείης τελέθων ἀπελύσαο μόχθων.
Ἀπρήκτου ματίης ὠδύσσαο πάντοτε φρουρόν.
Αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἐλπίδι χαίρω·
Σῇ φρένα τερψάμενος ἐλεημοσύνῃ κεχαροίμην·
Ὅττι μευ ἀδρανίην ἀγανόφροσιν εἶδες ὀπωπαῖς,

Ψυχὴν ἡμετέρην ὀλοῆς ἐσάωσας ἀνάγκης,

A Quique valde resonuit saltus longos revelans.
Omnis vero aliquis in templo beati Dei gloriam [cantet.

Inhabitat Rex virtutes torrentis instar euntes.
Immortalis et sempiternus Rex sedibus sedeat:
Ipse suis populis virtutem validam præbeat:
Ipse in pace sufficiente populum augeat.

## PSALMUS XXIX.

*Vicesimum cecinit et nonum sacrum carmen*
*David prudens, ædificans novam domum.*

Tuum robur exaltabo, quoniam me suscepisti, Pa- [stor,
Neque me superbientibus inimicis dedisti ludibrium
Diurnus clamabam, meum vero sanasti morbum.
Animam vero ab inferno recedentem eduxisti [meam,
B Et me a descendentibus in imum eripuisti terræ.
Sancti, carminibus Deum celebrate divinis,
Et ipsi incorrupta memoria decora sit:
Quoniam succensenti Deo ira est gravis,
Et propitio lumen animis vitæ.
Vespertinum fletum lætitia mutabit matutina:
Hilaris vero dixi, commotio quoniam mihi nun- [quam fuerit.
Ornatui nostro robur immortale a te sit.
Faciem tuam avertente, mea turbatio occupavit [membra.
Ad te, Beate, clamans, deprecor Deum semper ex- [sistentem.
Quid plus si præbeo sanguinem, et infernum [descendo)
C Nunquid te pulvis celebravit, veritatem vero dicet?
Audiens mei misertus est Rex, et adjutor stetit:
Planctum meum convertit, luctum vero mutavit in [gaudium.
Lætitia cinxit, abstersit vero lugubrem diem.
Ut cantet tibi mea beatitudo, totum vero me su- [perat cantus.
Immortalis Domine, te perpetuo celebrabo.

## PSALMUS XXX.

*Hunc tricesimum sacrum plenus cantum*
*Spiritu David divino canit.*

Ne me pudore suffundas, quoniam tu mea species:
Tua, Beate, justitia mei curam gere, et me serva.
Citius me serva inclinans benevolam aurem.
Noster Deus es opportunus protector,
D Domui liberatrici persimilis ut me serves:
Ipse mea solida sedes et firmum auxilium.
Nostræ factus vitæ nutritor deducas.
Facile, o Pure, a laqueo occulto me serves,
Quoniam nostræ vitæ protector es solus.
Spiritum charum tuis manibus almis commendem,
Princeps veritatis exsistens redemisti a laboribus.
Inanis vanitatis odisti semper custodem.
Ast ego misericordia fretus tua, spe gaudeo.
Tua mentem delectans misericordia gaudeam;
Quoniam meam infirmitatem placidis respexisti [oculis,
Animam nostram perniciosa eripuisti necessitate,

Nec me inimici in manu conclusisti molesta.
Vestigia mea firmasti in spatiosa via.
Oppressum me miserare, quoniam tribulor graviter.
Ira premens meum turbavit vultum,
Ventremque nostrum, et meum triste cor.
In doloribus multis marcescentem vitam traho,
In gemitibusque anni desinunt vitæ.
Virtus calamitosis paupertatis defecit laboribus,
Et mea horrenda turbatio occupavit ossa omnia.
Opprobrium super omnes factus sum magnum ini-
[ micos.
Vituperandus notis, charis vero pavor vicinis,
Qui me antea videntes iverunt valde seorsum fu-
[ gientes.
Mortuus velut inutilis a corde oblivioni datus sum.
Vasi fracto persimilis factus sum,
Dedecus indeorum vicinorum audiens.
Quique simul collecti mei hostes volitabant,
Pectoribus cogitantes meam animam auferre.
Sed ego vocabam te Deum : tu enim spes mea,
Tuis, Beate, in manibus mihi sortes sunt.
Eripe inimicorum me et violentorum de manibus.
Immortalem aperi tuo servo vultum.
Propter tuam bonam misericordiam me serves,
Ne aliquando dedecus occupet me : te enim vocavi
[ vindicem.
In infernum deducantur erubescentes impii.
Multa dolosa fiant labia virorum,
Quæ loquuntur iniquitatem adversus justum,
Multum superbis despecta odiosis.
Tuæ dulcedinis infinitæ multitudo est,
Quam abscondisti, valde sane te timentibus cus-
[ todiens,
Tuo indigentibus perfecisti semper auxilio,
Mortalis in conspectu laboriosæ generationis.
Extra mortalem tumultum eos abscondas.
Contentione in tabernaculis tuis procul protegas.
Laudandus quoniam misericordiam in civitate po-
[ suit admirabilem.
Obstupescens dixi : Projectus sum tuo a conspectu.
Inde Rex clamantis meas exaudivit preces.
Diligite, sancti omnes, Regem,
Quoniam veritatem Rex curat, semper,
Mercedem superbis meritam retribuens.
Confidite : cor vero valde vestrum firmum sit,
Quicunque in cœlestis Dei speratis auxilium.

## PSALMUS XXXI.

*Istud tricesimum est et primum carmen Davidis prudentis pulchre canentis.*

Beati qui declarati sunt liberi peccatorum.
Quibusque iniquitates curæ non amplius sunt.
Beatus cujus Deus opera præteriit peccatorum,
Linguam habens fictorum nesciam angorum,
Ossa senescentia insanabili putruerunt silentio,
Perpetuo et indesinenter tota die clamantis.
Semper enim, mi Rex, super me tua manu gravi
Miser fui, quoniam mihi in cute fixæ sunt spinæ.
Delictum declaravi, animi vero non texi culpam.
Dixi : Deo factum meum injustum confitebor :

A Οὐδέ με δυσμενέος παλάμη ξυνέεργες ἀνιρῇ.
Ἴχνιά μευ στήριξας ἐπ' εὐρυχόροιο κελεύθου.
Τειρόμενόν μ' ἐλέησον, ἐπεί περικήδομαι αἰνῶς
Νῆνις ἐπιβρίσασα ἐμὴν κλονέεσκεν ὀπωπὴν,
Γαστέρα θ' ἡμετέρην καὶ ἐμὸν πολυώδυνον ἦτορ.
Ἀμφ' ὀδύνῃς πυκινῇσι μαραινόμενον βίον ἕλκω,
Ἐν στοναχαῖς τ' ἐνιαυτοὶ παραλήγουσι βιώνης.
Κάρτος ὀϊζυροῖς πενίης ἐξέφθιτο μόχθοις,
Καί μευ φρικαλέη ταραχὴ λάβεν ὀστέα πάντα.
Αἶσχος ὑπὲρ πάντας γενόμην περιώσιον ἐχθρούς.

Μωμητὸς γνωστοῖσι, φίλοισι δὲ δεῖμα θυραίοις,
Οἵ με πάρος λεύσσοντες, ἔβαν μάλα νόσφι φυγόντες·

Νεκρὸς ὅπως ἄπρηκτος ἀπὸ κραδίης ἐπελήσθην.
B Τεύχει ἀπολλυμένῳ πανομοίιος ἐξεφαάνθην,
Μῶμον ἐλεγχήεντα περικτιόνων ἐπακούσας,
Οἵ θ' ἅμ' ἀγειρόμενοί μευ ἐναντίοι ἠερέθοντο,
Στήθεσιν ἀρμαίνοντες ἐμεῦ ἀπὸ θυμὸν ἑλέσθαι.
Αὐτὰρ ἐγὼ κάλεόν σε Θεόν· σὺ γὰρ ἐλπὶς ἐμοῖο,
Σῇσι, Μάκαρ, μετὰ χερσὶν ἐμοὶ κλῆροι γεγάασι.
Ῥύεο δυσμενέων με καὶ ἀντιβίων παλαμάων.
Ἀθάνατον προὔφαινε τεῷ θεράποντι πρόσωπον.
Εἵνεκα σῆς ἀγαθῆς ἐλεημοσύνης με σαώσοις,
Μήποθεν αἶσχος ἕλοι με· σὲ γὰρ καλέεσκον ἀρωγόν.

Εἰς ἀΐδην κατάγοινοντο καταισχυνθέντες ἀλεῖται.
Ἄφθογγα δολόεντα γενοίατο χείλεα φώτων,
Ὅσσα κατεφθέγξαντο κακοῤῥαφίην ὁσίοιο,
Πολλὸν ἀγηνορίῃσιν ὀνοσσάμενα στυγερῇσι.
Σῆς ἀγανοφροσύνης ἀπερείσιος ἑσμὸς ἐτύχθη.
C Ἣν κρύψας μαλα δή σε περιτρομέουσι φυλάσσων,

Σῆς ἐπιδευομένοις εἰργάσαο πάντοτ' ἀρωγῆς,
Ἀνδρμέης κατέναντα πολυτήτοιο γενέθλης.
Ἔκτοσθε βροτέης ταραχῆς σφέας ἀμφικαλύπτοις.
Νείκεος ἐν κλισίῃσι τεῆς ἀπάνευθε πυκάζοις.
Αἰνετὸς ὡς ἐλεητὺν ἐν ἄστει θῆχεν ἀγητήν.

Θαμβήσας ἐφάμην· Ὤσμαι σέο νόσφιν ὀπωπῆς.
Ἔνθεν Ἄναξ βοόωντος ἐμῶν ἐπάκουσε λιτάων.
Ἀμφαγαπαζέσθων ὅσιοι σύμπαντες Ἄνακτα,
Οὕνεκ' ἀληθείης Βασιλέως ἐμπάζεται αἰεὶ,
Μισθὸν ὑπερφιάλοις ἀνιάξιον ἐγγυαλίζων.
Θαρσεῖτε· κραδίη δὲ μάλ' ὑμέων ἔμπεδος ἔστω,
Ὅσσοι ἐπ' οὐρανίοιο Θεοῦ ἐλπίζετ' ἀρωγήν.

D

## ΨΑΛΜΟΣ ΛΑ'.

Τοῦτο τριηκοστὸν τελέθει καὶ πρῶτον ἄεισμα Δαυΐδου πινυτοῦ καλὰ μελιζομένου.

Ὄλβιοι ὅσσ' ἀνέδειχθεν ἐλεύθεροι ἀμπλακιάων,
Οἷσί τ' ἀτασθαλίαι μεμελημέναι οὐκέτ' ἔασιν.
Ὄλβιος οὗ Θεὸς ἔργα παρέδραμεν ἀμπλακιαων,
Γλῶσσαν ἔχων δολερῶν ἀδαήμονα δυσφροσυνάων.
Ὀστέα γηράσκοντα δυσαλθέϊ πύθετο σιγῇ,
Νωλεμέως καὶ ἄπαυστα πανημέριον βοόωντος.
Πάντοτε γὰρ, μευ Ἄναξ, ἐπ' ἐμοὶ σέο χειρὶ βαρείῃ
Δείλαιος γενόμην, ὅτι μοι χροῒ πῆχθεν ἄκανθαι.
Ἀμπλακίην ἀνέφηνα, νόου δ' οὐκ ἔσκεπον ἄτην.
Εἶπα· Θεῷ πρῆξίν με ἀτάσθαλον ἐξαγορεύσω·

Αὐτὸς δ' ἡμετέρης κραδίης παρεληλυθας ἄτην.
Τῆσδ' ἕνεκ' ἔσθ' ὁσίοισι λιτὴ μετ' ἐναίσιμον ὥρην.

Οὐδ' ἐπιχευομένων ὑδάτων τρεπεῖεν ἀνάγκην.
Σὺ ξυνεργούσης με πελέσκεο πύργος ἀνίης·
Χάρμα φίλον, σύ με τεῦξον ἐλεύθερον ἀμφιβαλόντων.

Γνοίης ἐξ ἐμέθεν ποίην χρέος οἶμον ὁδεύειν.
Εις σὲ, Μάκαρ, στήριξα διαμπερὲς ὄμματ' ἐμεῖο,
Ὀφθαλμῶν ἀμαρυγὰς ἐμῶν σέο νέρθεν ἐρείσω.
Παύσασθ' ἡμιόνοισι πανείκελοι ἠδὲ καὶ ἵπποις
Γινόμενοι· σοφίης γὰρ ἀγακλέος ἄμμοροί εἰσι.
Γαμφηλὰς ξυνέαξον ὀρειχάλκοισι χαλινοῖς,
Οἵ σέθεν οὐ μεμάασι γεγηθότες ἄσσον ἱκέσθαι.
Παντοδαπαὶ μαστιγες ἀεὶ γεγάασιν ἀλιτροῦ·
Ὧ δὲ Θεὸς μεμέλητ', ἔλεος περικυκλώσειε.
Χάρμα καὶ εὐφροσύνη θεοτερπέας ἄνδρας ἐρύκοι,
Καὶ κλέος ἀμφιβόητον ἐν ἰθυνόοισι μελεσθω.

ΨΑΛΜΟΣ ΛΒ.

Τόνδε τριηκοστὸν καὶ δεύτερον ἴαχεν ὕμνον
Δαυΐδος κιθάρῃ μειλιχα τερπόμενος.

Χαίρετε μοι Βασιλῆϊ, δίκης ὑποφήτορες ἄνδρες.
Ἀνδράσιν ἰθυνόοισι μεταπρέπει ἄσπετος αἶνος·
Μελψατε μοι ζώοντα Θεὸν φόρμιγγι λιγείῃ,
Μελψατε οἱ δεκάδεσσι μέλος νευρῇσιν ἱέντες,
Ἐκ πραπίδων νεον ὕμνον ἀείσατε Παμβασιλῆϊ.
Εὖ δ' ἀναμελπεσθω γε δίκης ἐπιήρανος αἶνος·
Οὕνεκεν ἀθανάτοιο Θεοῦ λόγος ἰθὺς ἐτύχθη.
Πάντα δε οἱ μάλα πιστὰ πελει βασιλήια ἔργα·
Εὐδικίην φιλεει λαθικηδέα καὶ θεμιν Ἐσσήν.
Πᾶσα Θεοῦ βέβριθεν ἄδην ἐλεητύος αἶα.
Οὐρανοὶ ἐῤῥίζωθεν ἐφημοσύνῃ Βασιλῆος,
Καὶ πᾶσ' ἀθανάτου στόματος σφεων πνεύματος ἀλκή.
Ἀσκὸν ὅπως, πόντοιο ῥόον πολυηχε' ἀγείρων,
Τεχνῃ κατθεμενος κρυφίοις ταμίαισιν ἀβύσσου.
Δειμαίνει βασιλῆα Θεὸν κλυτὰ πείρατα γαίης·
Ἐκ δ' αὐτοῦ δονεοινθ' ὁπόσοι χθόνα ναιετάουσιν.

Οὕνεκεν αὐτὸς ἔειπε, καὶ ἐκτετελεσθεν ἅπαντα.
Αὐτός Ἄναξ ἐκελευσε, τὰ δ' ἐβλάστησεν ὁμαρτῇ.
Ἀθάνατος σκεδάσειεν ἀπείριτα δήνεα δήμων,
Καὶ λαῶν ὀνόσαιτο πολυστρεφεας μελεδῶνας·
Δήνεά θ' ὑψινόων παραμείψεται ἡγητήρων.
Βουλὴ δ' Ἀθανάτοιο διηνεκεως ἐπιμίμνει,
Μερμερα δὲ κραδίης γενεῆς ἄπο μεχρι γενεθλης.

Φῦλον ἀεὶ μακαριστὸν ἑῷ Βασιλῆϊ πεποιθὸς,
Λαὸς, ὃν ἐκ πάντων ἐπελεξατο κλῆρον ἑλεσθαι.

Οὐρανόθεν Βασιλεὺς πανδερκεα τεῖνεν ὀπωπήν·
Ἀνδρομεην σφετερης ἐκ παστάδος εἶδε γενεθλην·
Ὄμμασιν ἐνναετῆρας ὅλης θηήσατο γαίης,
Ὅς θνητῶν κραδίην παλάμῃ τεκτήνατο μοῦνος,
Ὅς σφεων ἐν πραπίδεσσι διαμπερὲς ἔργα δοκεύει.
Οὐ σθενος οἶδεν Ἄνακτα μεγακλήεντα σαῶσαι,
Οὐδὲ γίγας κακότητα φύγοι περιθάρσυνος ἀλκῇ·
Ἵππος ἐνὶ πτολεμοις ἀχρήιος ἄνδρα σαῶσαι,
Οὐδε κεν αὐτὸς ἄλυξε περὶ σθενεϊ βλεμεαίνων.
Ὀφθαλμοὶ ἐτάνυσθεν ἐπὶ τρομεοντας Ἄνακτος,

A Ipse vero nostri cordis remisisti impietatem.
Hujus gratia erit sanctis supplicatio opportuno [tempore.

Neque effusarum aquarum fugiant necessitatem.
Tu occupantis me es turris doloris,
Gaudium carum, tu me fac liberum a circumdan- [tibus.

Cognoscas de me qualem deceat viam ingredi.
Super te, Beate, firmavi semper oculos meos,
Oculorum splendores meorum te subter firmabo.
Desinite mulis similes et etiam equis
Fieri : sapientiæ enim illustris expertes sunt.
Maxillas constringe duris frenis,
Qui te non cupiunt gaudentes prope accedere.
Varia flagella semper sunt peccatoris.
B Quem vero Deus curat, misericordia circumdet.
Gaudium et exsultatio divinos viros occupet :
Et gloria illustris rectis corde curæ sit.

PSALMUS XXXII.

*Hunc tricesimum et secundum resonuit hymnum*
*David cithara suaviter delectatus.*

Gaudete mihi Regi, justitiæ antistites viri :
Viros rectos decet immensa laus :
Canite mihi viventem Deum cithara canora,
Canite ei, decem carmen fidibus mittentes.
De præcordiis novum hymnum cantate Domino.
Bene vero cantetur justitiæ jucunda laus :
Quia immortalis Dei verbum rectum est.
Omnia vero ipsi valde fidelia sunt regia opera.
Justitiam diligit abscondentem curas et fas Rex.
Universa Dei plena est abunde misericordia terra.
C Cœli firmati sunt mandato Regis,
Et omnis immortalis oris ipsorum spiritus virtus.
Utrem sicut, maris fluxum sonorum congregans,
Arte ponens abditis custodibus abyssi.
Timeant Regem Deum inclyti fines terræ,
Ab eo autem commoveantur quicunque terram [habitant.

Quoniam ipse dixit, et perfecta sunt omnia :
Ipse Rex mandavit, ipsa vero germinarunt simul.
Immortalis dissipet infinita consilia populorum,
Et populorum reprobet volubiles curas,
Consiliaque superborum præteribit principum.
Consilium vero Immortalis in æternum manet,
Cogitationes vero cordis a generatione usque in [generationem.

D Gens semper beatissima suo Regi confisa,
Populus, quem ex omnibus elegit hæreditatem ca- [pere.

De cœlo Rex omnividentem extendit vultum,
Mortalem suo e cœnaculo vidit generationem :
Oculis incolas totius respexit terræ,
Qui mortalium cor manu fabricavit solus,
Qui eorum in præcordiis semper opera videt.
Non robur novit Regem gloriosum servare,
Neque gigas afflictionem fugiet confisus robore :
Equus in bellis inutilis virum servare,
Neque ipse effugiet robore superbiens.
Oculi extensi sunt in metuentes Regis,

Oculi magni Dei timentes respiciunt,
Qui divinam misericordiam curant.
Animas a morte inexorabili eruere,
Et alere luctuosa pressos animum fame.
Noster valde animus pendet a Rege,
Quoniam noster protector, et adjutor est.
In ipso lætetur mens præcordiis gaudens :
Et ejus nostra nomen inclytum spes est.
Ipse, Rex,misericordiam infinitam nobis præbeas,
Ut tuum sperantes semper exspectamus auxilium.

PSALMUS XXXIII.

*Quando Abimelechum bellicosum decipiens*
*Abiit David, suam vero immutavit formam,*
*Hunc tricesimum tertiumque simul cantum cecinit.*
Faustis verbis semper Regem clamabo,
Semper lingua suum carmen laudandum feram.
Laudetur meum cor in immortali Rege.
Mansueti audientes suo lætentur animo.
Mecum immortalem magnificate Pastorem mundi.
Et ejus congregati exaltemus nomen omnes.
Aurem posuit paratam exquirenti mihi Rex,
Omni vero exitiosa me cito eripuit tribulatione.
Properate ei accedere ; et ipsi mentibus lumen [capere,
Ut inculpatis semper splendeatis faciebus.
Sic pauper clamavit, Deus vero ipsi exaudivit vo- [cem :
Omnem vero servavit probram extra tribulationem.
Angelus circumstipans Deo veniet illuc et illuc,
In circuitu piorum virorum, ipsos ut servet.
Gustantes videte, Rex quoniam suavis est.
Beatus semper vir suo Regi confisus.
Sancti omnes, semper timete Regem.
Piorum non enim alicujus desiderans aliquis est.
Indigentes domuit divites aliquando fame.
Piorum vero bonis valde abundant generationes.
Huc adeste mihi,chari filii, mea vero audite verba,
Ut timorem Regis prudentis vos doceam.
Quis cupit elegantis videre vitæ serenitatem,
Desiderans perbeatos semper dies videre ?
Linguam tuam compesce vituperabilis malitiæ,
Et odiosis seorsum dolis tua labia tegas.
Fuge improbitatem,bonorum vero appareas artifex,
Pacis amabilia post vestigia semper gradiens.
Oculi Regis respiciunt justos,
Et ipsorum precibus paratissimam præbet aurem.
Dolores fabricantes Rex observat vultibus,
Ut perdat eorum memoriam de terra.
Justi clamaverunt, cæterum Deum invenerunt de- [fensorem.
Omni vero seorsum sua liberati sunt tribulatione.
Quibus cor contritum est, semper Deus novit opi- [tulari.
Spiritu autem suo humilem virum servabit.
Multæ et frequentes sanctorum sunt tribulationes,
Et ipsos ex omnibus liberabit æternus Rex :
Ipse Rex curet et ossa omnia custodiat,
Ex ipsis vero non quidquam corrumpatur fractum.
Mors peccatorum perniciosa et misera est.

A Ὀφθαλμοὶ μεγάλοιο Θεοῦ τρομέοντας ὁρῶσιν,
Ὅσσοι θεσπεσίῳ ἐλέῳ μεμελημένοι εἰσί.
Ψυχὰς ἐκ θανάτοιο τανηλεγέος ἀπερύξαι,
Καὶ θρέψαι στονόεντι πιεζομένους φρένα λιμῷ·
Ἡμέτερος μάλα θυμὸς ἀπῃώρηται Ἄνακτος,
Οὕνεκεν ἡμείων πρόμαχος καὶ ἀρωγὸς ἐτύχθη.
Ἀμφ' αὐτῷ κεχάροιτο νόος πραπίδεσσιν ἰανθεὶς,
Καί οἱ ἡμετέρη ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη.
Αὐτὸς, Ἄναξ, ἐλεητὺν ἀπείριτον ἄμμιν ὀπάζοις,
Οἷά σευ ἐλπίζοντες ἀεὶ ποτιδέγμεθ' ἀρωγήν.

ΨΑΛΜΟΣ ΛΓ'.

Ὁππότ' Ἀβιμέλεχον μενεδήιον ἠπεροπεύσας,
Ὤχετο Δαυΐδος, σφετέρην δ' ἠλλάξατο μορφὴν,
Τόνδε τριχοστὸν τριτατόν θ' ἅμα κῶμον ἔμελψεν.
Εὐφήμοις ἐπέεσσιν ἀεὶ Βασιλῆα βοήσω,
B Νωλεμέως γλώσσῃ σφέτερον μέλος αἰνετὸν οἴσω.
Κυδαίνοιτό μευ ἦτορ ἐν ἀθανάτῳ Βασιλῆι.
Μείλιχοι εἰσαΐοντες ἑῷ κεχαροίατο θυμῷ.
Ἀμφ' ἐμοὶ ἀθάνατον μεγαλίζετε Ποιμένα κόσμου,
Καί οἱ ἀγειρόμενοι ἀναείρομεν οὔνομα πάντες.
Οὖας θῆκεν ἑτοῖμον ἀνιχνεύσαντί μοι Ἐσσὴν,
Παντοίης δ' ὀλοῆς με θοῶς ἐξείλετ' ἀνίης.
Σπεύσατέ οἱ πελάσαι, καί οἱ φρεσὶ φέγγος ἑλέσθαι,
Ὡς κεν ἀμωμήτοισιν ἀεὶ λάμποιτε προσώποις.
Ὧδε πτωχὸς ἄϋσε, Θεὸς δέ οἱ ἔκλυεν αὐδῆς.
Παντοίης δ' ἐφύλαξεν ἐλεγχέος ἔκτοθεν ἄτης.
Ἄγγελος ἀμφιέπων Θεῷ ἵξεται ἔνθα καὶ ἔνθα.
Κυκλόθεν εὐσεβέων ἀνδρῶν, σφέας ὄφρα σαώσῃ.
Γευσάμενοι δέρκεσθε, Ἄναξ ὅτι μείλιχός ἐστιν.
C Ὄλβιος αἰὲν ἀνὴρ σφετέρῳ Βασιλῆι πεποιθώς.
Εὐαγέες σύμπαντες, ἀεὶ περιδείδετ' Ἄνακτα.
Εὐσεβέων οὐ γάρ τευ ἐφιμείρων τις ἐτύχθη.
Δευομένους ἐδάμασσε πολυκτεάνους ποτὲ πείνῃ·
Εὐσεβέων δ' ἀγαθοῖσι μέγα βρίθουσι γενέθλαι.
Δεῦρ' ἴτε μοι, φίλα τέκνα, ἐμῶν δ' ἐπικέκλυτε μύθων·
Ὄφρα φόβον Βασιλῆος ἐνηέος ἄμμε διδάξω.
Τίς ποθέει χαρίεντος ἰδεῖν βιότοιο γαλήνην,
Ἰσχανόων πολύολβα διαμπερὲς ἤματα λεύσσειν ;
Γλῶσσαν σὴν ἀπόπαυσον ἐλεγχίστης κακότητος,
Καὶ στυγερῶν ἀπάνευθε δόλων σέο χείλεα κεύθοις.
Φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἀναφαίνεο τέκτων,
Εἰρήνης ἐρατεινὰ μετ' ἴχνια πάντοτε βαίνων.
Ὀφθαλμοὶ Βασιλῆος ἐποπτεύουσι δικαίους,
Καί σφεων εὐχωλῇσιν ἑτοιμότατον πόρεν οὖας.
D Ἄλγεα τεκταίνοντας Ἄναξ δοκέεσκεν ὀπωπαῖς,
Ὄφρα κεν ἐξολέσῃ σφέτερον μνημήιον αἴης.
Εὐσεβέες βοάασκον, ἀτὰρ Θεὸν εὗρον ἀρωγὸν,
Παντοίης δ' ἀπάνευθεν ἑῆς ἐφύλαχθεν ἀνίης.
Οἷς κραδίη τέθραυσται, ἀεὶ Θεὸς οἶδεν ἀρήγειν·
Πνεύματι δὲ σφετέρῳ χθαμαλόφρονα φῶτα σαώσει.
Πολλαὶ καὶ πυκιναὶ ὁσίων γεγάασιν ἀνῖαι,
Καί σφεας ἐκ πασέων ἀπολύσεται ἄφθιτος Ἐσσήν.
Αὐτὸς Ἄναξ κήδοιτο, καὶ ὀστέα πάντα φυλάξοι·
Ἐκ δ' αὐτέων οὐκ ἄν τι καταφθείροιτο ἐαγθέν.
Πότμος ἁμαρτινόων ὀλοὸς καὶ ἄποτμος ἐτύχθη·

Οἱ δ' ὅσιον στυγέοντες, ἀτάσθαλοι αἰὲν ἔσονται.
Δμώων σφωιτέρων κραδίας ἀπολύσεται ἄτης·
Οὔ κεν ἀλιτραίνοιεν ἑῆς Χατέοντες ἀρωγῆς.

ΨΑΛΜΟΣ ΛΔ'.

Τόνδε τριηκοστὸν καὶ τέτρατον ἴαχεν ὕμνον
Δαυΐδος, λιγυρῇ μελπόμενος κιθάρῃ.
Νωϊτέροις ὀλετῆρσιν, Ἄναξ ἄχραντε, δικάζοις,
Νωϊτέροις δηΐοισιν ὑπερμενέως πολεμίζοις.
Ἀσπίδα καὶ ξίφος ὀξὺ λαβών, ἐπιτάῤῥοθος εἴης.
Φάσγανον ἄμφηκες δηΐων κατέναντι τιταίνοις.
Ἔννεπέ μευ ψυχῇ· Σέθεν ἀσφαλὲς ἕρκος ἐτύχθην.
Θυμὸν ἀνιχνεύοντας ἐμὸν διὰ μῶμος ἐλέγχοι.
Κήδεά μοι ῥάπτοντας ἀποστρέψειας ὀπίσσω·
Οἷα κόνις δνοφεροῖσιν ἐλαυνέσθωσαν ἀήταις·
Καὶ σφεας Ἀθανάτοιο διάκτορος ὀξὺς ἀπείργοι.
Οἶμος ὀλισθηρὴ ζοφερή θ' ἅμα τοῖσι γενέσθω,
Καὶ σφεας Ἀθανάτοιο διάκτορος αἶψα διώκοι·
Κρύϐδην μαψιδίως ὅτι μοι λίνον ἐστήσαντο·
Μαψιδίως ἐμὸν ἦτορ ὀνείδεσιν ἐστυφέλιξαν.
Ἢν φρεσὶν οὐ δοκέουσι πάγην, σφέας ἀγρεύσειεν·
Ἧς δὲ κατεκρύψαντο, γενοίατο κέρδεα θήρης,
Ὀλλύμενοι δολόεντι λίνῳ, τόπερ ἔπλεκον αὐτοί.
Αὐτὰρ ἐμὴ ψυχὴ κεχαρήσεται ἀμφὶ Ἄνακτι,
Καὶ οἱ ἀλεξικάκῳ περὶ φέγγεϊ γηθήσειεν.
Ὀστέα πάντ' ἐρέει· Τίς τοι, Μάκαρ, ἄλλος ὁμοῖος
Ῥυόμενος πτωχὸν κρατερῶν ἀπὸ λυμαντήρων,
Πτωχόν τ' ἠδὲ πενιχρὸν ἁρπαλέων ὀλετήρων ;
Μάρτυρες ἀνστάντες μ' ὅσα μὴ μάθον ἐξερέεινον.
Ἀντ' εὐεργεσίης κακοεργέα μισθὸν ἐδέγμην,
Ἡμετέρην ἄσπερμον ἐπεσσυμένων φρένα θέσθαι.
Αὐτὰρ ἐπειγόμενος βαλόμην πέρι πένθιμον εἶμα·
Νηστείης δ' ἐδάμασσα πόνοις βαρυώδυνον ἦτορ·
Εὐχωλὴ δ' ἐπὶ κόλπον ἐμὸν στρεφθεῖσα θοάσσοι.
Ὡς φίλῳ, ὥς τε κασιγνήτῳ, τόσον ἥνδανον αἰεί·
Ὡς δὲ κατηφιόων ἐδάμην, φρενὶ πένθος ἀέξων.
Οἱ δ' ἐμέθεν κατέναντα γεγηθότες ἠγερέθοντο·
Μάστιγες ξυνάγερθεν, ἐγὼ δ' οὐ πάμπαν ἀνέγνων.
Σπλάγχνα βίῃ ῥήγνυντο, καὶ οὐκ ἐνόησαν ἀνίην·
Καὶ μ' ἐπέμυξαν ἄδην, λώϐῃ δ' ἀπεπειρήσαντο,
Ἀντιβίην κρυεροῖσιν ὀδὰξ ἐν χείλεσι φύντες.
Εἰπὲ, Μάκαρ, πότε δή μευ ἴδοις δυσάλυκτον ἀνάγ-
[κην ;
Ψυχὴν ἡμετέρην κακοεργέος ἔξελε φύτλης·
Αὐτὰρ μουνογένειαν ἐμὴν ῥύσαιο λεόντων.
Ἠγαθέῃ Βασιλῆα παρὰ κλισίῃ κελαδήσω,
Πὰρ λαῷ μεγαλοσθενέτῃ τεὸν ὕμνον ἀείσω.
Μὴ δή μοι κεχάροιντ' ἀθεμίστια δυσμενέοντες,
Οἵ με μάτην στυγέουσιν, ἀτὰρ νεύουσιν ὀπωπαῖς.
Οἵ ῥά μοι εἰρήνῃ προσεοικότα μυθίζοντο,
Πικρὰ δέ μοι φρονέουσι δολοφροσύνῃ κοτέοντες.
Θυμοδακὲς κατέναντα στόμα μηκύνοντες,
Φάντο κακῶν χαίροντες ἐμῶν θηήτορες εἶναι.
Εἰ θηήσαο τοῦτο, Μάκαρ, μὴ δή με παρέλθοις
Μή μευ ἀποσταίης, πανεπίσκοπε δῶτορ ἐάων,
Μηδὲ δίκην ἄγνωστον ἐμὴν παρελεύσεαι ὄσσοις.
Σῇσιν ὑπ' εὐδικίῃσιν, Ἄναξ, μ' ἄχραντε δικάζοις,

A Qui vero sanctum oderunt, improbi semper erunt.
Servorum suorum corda liberabit calamitate,
Non delinquant suo carentes auxilio.

PSALMUS XXXIV.

*Hunc tricesimum et quartum cecinit hymnum*
*David, canora canens cithara.*
Nostris occisoribus, Rex impollute, jus dicas,
Nostros hostes præpotenter expugna
Scutum et gladium acutum capiens, confortator sis
Ensem ancipitem hostium in conspectu distendas.
Dic meæ animæ ; Tuum firmum vallum sum.
Animum quærentes meum reprehensio convincat.
Curas mihi machinantes avertas retro :
Velut pulvis atris impellantur ventis.
Et ipsos Immortalis angelus pernix coerceat.
Via lubrica tenebrosaque simul his fiat,
B Et ipsos Immortalis angelus cito persequatur :
Clam frustra quoniam mihi rete erexerunt :
Supervacue meum cor probris torserunt.
Quem ammis non vident laqueum, ipsos capiat.
Quam vero absconderunt, fiant lucra venationis,
Pereuntes doloso reti quod concinnarunt ipsi.
Cæterum mea anima gaudebit in Rege,
Et ipsius salutari super lumine delectetur.
Ossa omnia dicent : Quis tibi, Beate, alius similis?
Eripiens pauperem robustis a corruptoribus
Pauperemque et egenum a rapacibus occisoribus.
Testes surgentes, me quæ non didici, interrogabant.
Pro beneficentia malam mercedem capiebam,
Nostram sterilem violentorum mentem ponere.
Cæterum festinans induebar lugubri veste :
C Jejunii vero domui laboribus grave cor,
Oratio vero in sinum meum conversa sedeat.
Quasi amico, quasique fratri sic complacui semper,
Quasi vero tristis humiliabar, animo luctum augens:
Ipsi vero mei ex adversa læti convenerunt.
Flagella congregata sunt, ego vero non prorsus co-
[gnovi.
Viscera vi rumpebantur, et non intellexerunt affli-
[ctionem,
Et me subsannaverunt satis, contumelia vero ten-
[taverunt,
Contra horridis mordicus labiis ingenerantes.
Dic, Beate, quando igitur meam videas inevitabi-
[lem necessitatem.
Animam nostram a maligna educ generatione.
D Cæterum unicam meam libera a leonibus.
Sacra Regem in aula resonabo,
In populo robusto tuum hymnum canam.
Ne igitur mihi supergaudeant impie adversantes,
Qui me frustra oderunt, sed annuunt oculis.
Qui mihi paci similia loquebantur,
Acerba vero mihi cogitant dolose irascentes,
Molestum in conspectu os dilatantss,
Dixerunt malorum gaudentes meorum spectatores
[esse.
Si vidisti istud, Beate, ne sane me prætereas,
Nea me discedas, provide dator bonorum.
Neque causam ignotam meam prætereas oculis.
Tuis sub justitiis, Rex, me incorrupte judices.

Tua me misericordia judices, provide Pastor,
Neque supergaudeant inimici viri nobis.
Neque risus mentis mœror meæ aliquando duplex [sit,
Neque gutturibus me devorent suis.
Dedecus capiat omnes mea gaudentes ærumna :
Qui vero cogitant superba, confusionem reportent.
Gaudium et lætitia sanctum genus curet :
Semper celebrem magnanima dona Dei,
Pacem servi sui cupienies videre.
Lingua justitiam mea tuam crebro canat,
Tuam percelebrem tota die laudem cantet.

## PSALMUS XXXV.

*Incorruptum Immortalis famulus David integer*
*Istud tricesimum carminum et quintum cecinit.*

Dixit suo in animo stoliditates injustus,
Non ferens Regis ante oculos timorem Dei,
Perniciosam dolosis in cruciatibus linquam augens,
Semper angorem odiosum quærens invenire.
Iniquitatem sua dolosam curant verba,
Nunquam universam sanctam viam amare.
Sed etiam in cubilibus stolidis injurius,
Neque bonum facere curavit, neque intelligere,
Neque odit vitii damnosi mœrorem.
Incorrupte, venerandum misericordiam tuam cœ- [lum continet :
Tua vero veritas etiam in nubibus exsultat :
Tua justitia persimilis montibus divinis,
Paria judicia fers profundis abyssis.
Quadrupedum greges mortaliumque simul genera [serves,
Sic tuam misericordiam, Rex, plenam auges.
Tuarum alarum mortalibus semper tegmen erit [spes.
Pinguibus bonis tuorum abundant palatiorum.
Et ipsos lætitiæ placidus torrens riget.
Quoniam vitalis apud te, Beate, est fons.
In tuo autem divinum videbimus lumine lumen.
Tuam misericordiam Rex desiderantibus prætendas
Et tuam rectis corde justitiam ostendas.
Ne mihi indecorum et superbum vestigium subeat,
Neque peccatoris, Beate, manus me moveat.
Ibi ceciderunt omnes superbiæ famuli,
Neque resurgent neglecti, inde expulsi sunt.

## PSALMUS XXXVI.

*In sexto grato tricesimum suaviter canens*
*Resonuit David dulce carmen cithara.*

Nequando mihi æmuleris videns malignum virum,
Neque obstupescas in opificibus iniquitatis.
Ipsi enim tanquam fenum cito persiccantur,
Cadentes herbaceis cito oleribus similes.
Spem produc Deo, et mitia fac,
Et terram inhabites, pascant vero te divitiæ conti- [nentis.
Gaudens Immortalis grata omnia reportes.
Aperte Regi tuas ostende vias :
Spera, neque desine : ipse vero tibi omnia faciet :
Et tuam educet justitiam tanquam lumen.

A Σῇ μ' ἐλεημοσύνῃ κρίνοις, πανεπίσκοπε Ποιμὴν,
Μηδ' ἐπιγηθήσειαν ἀνάρσιοι ἀνέρες ἡμῖν·
Μηδὲ γέλως φρενὸς ἄλγος ἐμῆς ποτε διπλόον εἴεν,
Μηδὲ κε λαυκανίαις με καταβρώξειαν ἑῇσιν.
Αἶσχος ἕλοι σύμπαντας ἐμῇ κεχαρηότας ἄτῃ·
Ὅσσοι δὲ φρονέουσιν ὑπέρβια, μῶμον ἕλοιντο.
Χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·
Πάντοτε μελπόντων μεγαλαυχέα δῶρα Θεοῖο,
Εἰρήνην θεράποντος ἑοῦ ποθέοντες ἰδέσθαι.
Γλῶσσα δικαιοσύνην ἐμέθεν σέο πυκνὰ λιγαίνοι,
Σεῖο πολυκλήεντα πανημαδὸν αἶνον ἀείσοι.

## ΨΑΛΜΟΣ ΛΕʹ.

Ἄφθιτον Ἀθανάτου θεράπων Δαυΐδος ἀμύμων,
Τοῦτο τριηκοστὸν μελέων καὶ πέμπτον ἔμελ- [ψεν.

B Ἔννεπεν ὃν κατὰ θυμὸν ἀτασθαλίας ἀθέμιστος,
Οὐ φορέων Βασιλῆος ἐπ' ὄμμασι δεῖμα Θεοῖο,
Οὐλομένην δολεροῖσιν ἐπ' ἄλγεσι γλῶσσαν ἀέξων,
Αἰεὶ δυσφροσύνην στυγερὴν διζήμενος εὑρεῖν.
Ἀμπλακίῃ σφέτεροι δολερῇ μεμελήατο μῦθοι,
Οὔποτε παντοίην ὁσίην ὁδὸν ἀμφαγαπάζειν.
Ἀλλὰ καὶ ἐν λεχέεσσιν ἀτασθαλίῃσιν ἀλείτης,
Οὐδ' ἀγαθὸν ῥέξαι βουλεύσατο, οὐδὲ νοῆσαι,
Οὐδὲ τ' ἀπεχθαίρει κακίης πολυπήμονος ἄλγος.
Ἄφθιτε, τιμήεις ἔλεος τεὸν οὐρανὸς ἴσχει·
Σεῖο δ' ἀληθείη καὶ ἐν νεφέλῃσι χορεύει·
Σεῖο δικαιοσύνη πανομοίιος οὔρεσι θείοις·
Ἴσας εὐδικίας φορέεις βυθίοισιν ἀβύσσοις.
Τετραπόδων ἀγέλας μερόπων θ' ἅμα φῦλα σαώσοις,

C Ὧδε τεὴν ἐλεητὺν, Ἄναξ, πλήθουσαν ἀέξεις.
Σῶν πτερύγων μερόπεσσιν ἀεὶ σκέπας ἔσσεται ἐλπίς·
Πιαλέοις ἀγαθοῖσι τεῶν βρίθουσι μελάθρων·
Καὶ σφεας εὐφροσύνης ἀγανὸς χειμάῤῥοος ἄρδοι·
Οὕνεκεν εὔζωος παρὰ σοὶ, Μάκαρ, ἔπλετο πηγή.
Ἐν δὲ τεῷ θεοτερπὲς ἰδοίμεθα φέγγεϊ φέγγος.
Σὴν ἐλεημοσύνην, Βασιλεῦ, ποθέουσι τανύσσοις,
Καὶ σέθεν ἰθυνόοισι δικαιοσύνην ἀναφαίνοις,
Μή μοι ἐλεγχῆεν καὶ ὑπέρβιον ἴχνος ἐπέλθοι.
Μηδὲ θ' ἁμαρτινόοιο, Μάκαρ, παλάμη με δονοίη.
Κεῖσ' ἔπεσον σύμπαντες ἀτασθαλίης θεράποντες,
Οὐδὲ τ' ἀναστήσονται ἀκηδέες, ἔνθεν ἔλασθεν.

## ΨΑΛΜΟΣ ΛϚʹ.

D Ἀμφ' ἕκτῳ χαρίεντι τριηκοστὸν λίγα μέλπων
Ἔβραχε Δαυΐδος ἡδὺ μέλος κιθάρῃ.

Μήποτέ μοι φθονέτειας ἰδὼν κακοεργέα φῶτα,
Μηδ' ἐπιθαμβήσειας ἐπ' ἐργατίναις κακότητος.
Οἵδε γὰρ οἷά τε χόρτος ἄφαρ κατατερσαίνονται,
Πίπτοντες χλοεροῖσι θοῶς λαχάνοισιν ὁμοῖοι.
Ἐλπωρὴν ἀνάτειλε Θεῷ, καὶ μείλιχα ῥέζε·
Καὶ χθόνα ναιετάοις, νεμέθοι δέ σε πλοῦτος ἀπείροι.
Χαίρων Ἀθανάτῳ καταθύμια πάντα κομίζοις.
Ἀμφαδίην Βασιλῆι τεὰς ἀνάφαινε κελεύθους·
Ἔλπεο, μηδ' ἀπόληγ'· ὁ δέ τοι σύμπαντα τελέσσει,
Καὶ σέθεν ἐξοίσειε δικαιοσύνην, ἅτε φέγγος·

Εὐδικίην δὲ τεὴν πατομοίιον ἤματι μέσσῳ.
Λίσσεό μοι, κρατερὸν μειλισσόμενος Βασιλῆα.
Μήποτε ῥηίστης βιοτῆς ζῆλός σε χαλέψῃ.
Ἀνδρὸς δυσφροσύνη μεμελημένου, αἰὲν ἀθέσμου.
Δεινὸν φεῦγε κότον, καὶ ἀμειδέα κάλλιπε θυμόν.
Μήποτέ μοι φθονέσειας ἀλιτροσύνης ἀλεγεινῆς.
Οἱ γὰρ ἀλιτραίνοντες ἀποφθινύθοιντο κακοῖσιν·
Οἱ δὲ Θεὸν μίμνοντες, ὅλην κτησαίατο γαῖαν.
Ἀλλ' ἔτι βαιὸν, ἄφαρ παρελεύσεται ἐλπὶς ἀλιτροῦ,
Καὶ οἱ ἀνιχνεύσειας ἕδος, τὸ δ' ἄφαντον ἐτύχθη.
Ἄνδρες δ' ἠπιόθυμοι ὅλην κτησαίατο γαῖαν,
Εἰρήνης ἀγαθοῖσιν ἀγαλλόμενοι πυκινοῖσιν.
Εὐδικίης θεράποντα φυλάξεται αἰὲν ἀλιτρὸς,
Καί οἱ λυσσητῆρας ἐπιβρύξειεν ὀδόντας.
Αὐτὰρ ὅ μιν λεύσσων Πανυπέρτατος ἡδὺ γελάσσει,
Γινώσκων, ὅ οἱ ἦμαρ ὀλέθριον εἶσιν ἑτοῖμον,
Φάσγανον ἄμφηκες κακοεργέες ἐσπάσσαντο,
Νευρὴν ἐξετάνυσαν ἀμαιμακέτῳ περὶ τόξῳ,
Πτωχὸν ἑλεῖν σπεύδοντες ἀποφθῖσαί τε πένητα,
Ἰθυνόους ξιφέεσσι κατασφάζαι μεμαῶτες.
Ἀλλὰ σφέων ξίφος ὀξὺ διὰ στέρνοιο περήσοι,
Καὶ τόξα στονόεντα, Μάκαρ, διὰ λεπτὰ κεάσσοις.
Φέρτερόν ἐστ' ὀλίγιστον ἀγακλήεντι δικαίῳ,
Ἀμπλακίης ἢ πλοῦτον ἀπειρέσιον ξυναγείρειν.
Λεπταλέοι τρίβοιντο βραχίονες ἀφρονεόντων.
Ἀθάνατος κλυτὸν ἴχνος ὑποστήσειε δικαίων.
Αὐτὸς Ἄναξ ἄχραντος ὁδοὺς δεδάηκεν ἀμώμων·
Αἶσ' ἀγαθῶν καὶ κλῆρος ἀεὶ σταθερώτερος ἔσται.
Οὔ κεν ἐπαισχύνοιντο δυσηχέα καιρὸν ἀνάγκης·
Λιμῷ δ' ἐν πρυόεντι κόρῳ βρίθοιεν ἁπάντων.
Ἀμπλακίης θεράποντες ἅδην ἀπολοίατο πάντη,
Ἀντιβίων δ' ὅτε κῦδος ὑπερτέλλοι Βασιλῆος,
Καπνῷ ἀποφθινύθοντι ὁμῶς πανομοίιοι ἔσκον (28).
Χρησάμενος κακοεργὸς ἀνὴρ οὐκ οἶδ, ἀποδοῦναι·
Οἰκτείρει δὲ δίκαιος ἀεὶ καὶ πᾶσιν ὀπάζει.

Οἱ μὲν ἐπαινήσοντες ὅλην κτησαίατο γαῖαν·
Οἱ δὲ κακῆς βάλλοντες ἀρῆς ἀπολοίατο πάντη.
Νεύμασι θεσπεσίοις ἰθύνεται ἴχνια φωτός·
Καὶ σφετέρων Θεὸς αἰὲν ἐφιμείροιτο κελεύθων.
Οὐδ' ὀλοοῖς θραύοιτο πεσὼν περὶ ῥήγμασι γαίης,
Οὕνεκά οἱ παλάμην Βασιλεὺς ἐπίκουρος ἐρείδει.
Πρόσθε νέος γενόμην, νῦν αὖτέ με γῆρας ἱκάνει,

Οὐδ' ἐπιδευόμενον θεοτερπέα πάμπαν ἀνέγνων,
Οὐδέ οἱ ἐλδομένην γενεὴν ζωαρκέος ἄρτου,
Οἰκτείρειν δεδάηκε, πανημέριός τε δανείζειν,
Καί οἱ καλλιπέτηλος ἐπ' εὐλογίῃ σπόρος ἔσται.
Φεῦγε κακοῤῥαφίην, ἀγαθῶν δ' ἐμπάζεο ἔργων,
Καὶ χθόνα ναιετάοις· ὅτ' Ἄναξ θέμιν ἀμφαγαπάζει,
Οὐδὲ σφωιτέρους ὑπερόψεται ἀθλητῆρας·
Ἀθανάτου φρουροῖντο διηνεκέεσσιν ἀρωγαῖς.
Αὐτὰρ ἀθεσμοσύνῃ μεμελημένοι ἐξελάοιντο,
Φῦλά τε δυσσεβέων ἀπολοίατο νηλεοθύμων
Εὐδικίης θεράποντες ὅλην κτησαίατο γαῖαν,
Καί μιν ναιετάοιεν ἀτερμάντοισι χρόνοισι.
Θείην εὐσεβέος σοφίην στόμα πάντοτε μέλψει·

A Judicium vero tuum persimile dici medio.
Supplica mihi, fortem exorans Regem.
Nequando facillimæ vitæ zelus te lædat :
Viri angor curantis semper iniquum.
Gravem fuge iram, et tristem derelinque furorem.
Nequando mihi æmuleris iniquitatem molestam.
Maligni enim pereant malis :
Deum vero exspectantes, totam possideant terram.
Sed adhuc pusillum, cito præteribit spes peccatoris,
Et ejus quæras sedem: ipsa vero disparens fuit.
Viri vero mansueti, totam possidebunt terram,
Pacis commodis exsultantes crebris.
Justitiæ famulum observabit semper peccator.
Et ipsi rabidis infremat dentibus.
Cetereum eum videns Supremus dulce ridebit,
B Cognoscens quod ipsi dies lethalis veniet paratus
Gladium ancipitem maligni evaginaverunt,
Nervum tetenderunt valido in arcu,
Pauperem capere properantes, perdereque inopem
Rectos corde gladiis trucidare cupientes.
Sed ipsorum gladius acutus per pectus transeat,
Et arcus tristes, Beate, frustulatim confringas.
Melius est paucum nobili justo,
Peccati qaam divitias infinitas accumulare.
Tenuia conterantur brachia stultorum,
Immortalis nobile vestigium sustineat justorum
Ipse Rex impollutus vias novit immaculatorum.
Portio bonorum et hæreditas semper firmior erit.
Non confundantur horribili tempore necessitatis,
Fame vero grassante satietate abundent omnium.
Peccati famuli abunde pereant undique.
C Hostium vero quando honor eminet Regis,
Fumo dispereunti æque persimiles sunt.
Mutuatus improbus vir, non novit reddere.
Miseretur vero justus semper, et omnibus commodat.

Eum laudantes, totam possidebunt terram,
Malis vero ferientes execrationibus, pereant ubique
Nuticus divinis diriguntur gressus viri,
Et suas Deus semper amet vias.
Neque perniciosis collidatur cadens in ruinis terræ,
Quia ipsi manum Rex adjutor admovet
Prius juvenis fui, nunc rursum me senectus occupat,

Neque egentem justum prorsus cognovi,
Neque ipsi desiderans semen vitalem panem.
D Miseri novit, totaque die commodare,
Et ipsi pulchrum in benedictione semen erit.
Fuge improbitatem, bonis vero stude operibus,
Et terram inhabites : quia Rex judicium amat,
Neque suos despiciet athletas,
Immortalis conserventur perpetuis auxiliis,
Ceterum in justitiam curantes ejicientur,
Generaque impiorum pereant crudelium.
Æquitatis famuli totam possideant terram,
Et ipsam inhabitent sempiternis temporibus.
Divinam pii sapientiam os semper modulabitur.

(28) Ἔσκον. Forte, ἔστων pro ἔστωσαν, ut μζ', 21, Edit.

Lingua vero judicium regium prædicabit.
Divinæ fert cor plenum legis.
Neque ipsi gressus omnino lædantur cadenti.
Justitiæ famulum nimis observat peccator,
Et eum superbe cupit interficere.
Sed non ipsi manibus Deus deseret eum desiderium,
Neque oppressum victoriæ egentem derelinquet,
Sustine Dominum, custodi vero ejus vias,
Et te diuturnum sortis terrenæ perficiet:
Genera pereuntium nocentium videas.
Vidi in altissimis exaltatum improbum.
Multum super Libani fragrantis in sublimi cedros,
Infelicem sed eum non amplius cognovi transiens.
Neque mihi ipsa ei sedes apparebat inquirenti.
Mansuetudinem custodi, ut recta omnia sentias.
Quoniam bonæ pacis antistitem reliquiæ manent.
Prorsus vero iniqua pereat generatio.
Impiorum intereant amaro reliquiæ interitu.
Robustum vero sanctis lumen Regis est,
Et ipsis oppressis celer veniet protector,
Immortalem auxiliarem semper ipsis manum porrigens,
Egenosque iniqua vi liberabit peccatorum,
De vero malis serventur quibus curæ est spes divina.

## PSALMUS XXXVII.

*Memor calamitatum mortalium David inculpatus*
*Quas pertulit, et afflictionibus superior fuit lacessitus,*
*Circa tricesimum carmen septimum resonuit canens.*
Ne me tuus gravis, Incorrupte, furor arguat,
Neque me castiget tua tristis ira:
Quoniam meis membris tuæ infixæ sunt sagittæ,
Et tuam ut inimicam mihi confirmasti manum.
Quis meum sanet corpus te succenseute?
Aut unde ossibus meis requies appareat,
Undique peccatis agitato odiosis?
Angores super meum ascenderunt caput.
Oneri molesto et gravi sunt similes.
Insipientia cicatrices olentes circum me putruerunt
Miser factus sum, secundum vero cervicem curvatus sum.
Irascens vitio tota die conficiebam viam:
Quoniam mea prohibuerunt infinita ludibria animum
Non meum quietem doloris corpus novit capere.
Sum nimis humilis saucius doloribus morbi,
Nostri cordis rugiens gemitibus.
Incorrupte, sed meum ipse inspicias desiderium:
Neque te noster gemitus latet scientem omnia.
Conturbatus sum corde, membrorum vero recessit vis.
Oculorum vero desiderabile meorum periit lumen.
Coram amici timuerunt, pedes vero firmarunt socii
Qui vero me prope euntes, de longe recesserunt.
Ah! mihi tantam vim faciebant, charum quærentes cor!
Ah! quomodo frustra loquebantur mala inquirentes,
Acuentes dolosis tota die probris linguas!

A Γλώσσῃ δ' εὐδικίην βασιλήιον ἐξαγορεύσει.
Θεσπεσίου φορέει κραδίην ἐγκύμωνα θεσμοῦ.
Οὐδέ οἱ ἴχνια πάγχυ παραβλάπτοιτο πεσόντι.
Εὐδικίης θεράποντα λίην ποτιδέρκετ' ἀλείτης,
Καί μιν ὑπερμενέως ἐπιμαίεται ἐξεναρίζειν·
Ἀλλ' οὐχ οἱ πλάμησι Θεὸς λείψει μιν ἐέλδωρ,
Οὐδὲ δικαζόμενον νίκης χατέοντα μεθήσει.
Τάτλαθι Παμβασιλῆα, φύλασσε δὴ τοῖο κελεύθους,
Καί σε μεταχρόνιον κλήρου χθονίοιο τελέσσει·
Φῦλα καταφθιμένων ἀλιτήμονα θηήσαιο.
Εἶδον ἐφ' ὑψίστων ἀναειρόμενον κακοεργὸν,
Πολλὸν ὑπὲρ Λιβάνοιο θυώδεος ὑψόθι κέδρων,
Δύσμορον ἀλλά μιν οὐκέτ' ἐπεφρασάμην παροδεύων,
Οὐδέ μοι αὐτὸ οἱ οὖδας ἐφαίνετο μαστεύοντι.
B Μειλιχίην φρούρησον, ἵν' εὐθέα πάντα νοήσῃς.
Ὡς ἀγάθ' εἰρήνης ὑποφήτορι λείψανα μίμνει.
Πανσυδίῃ δ' ἀθέμιστος ἀποφθείροιτο γενέθλη.
Δυσσεβέων φθινύθοιεν ἀδευκεῖ λείψαν' ὀλέθρῳ.
Ἀλκῆεν δ' ὁσίοισι φάος Βασιλῆος ἐτύχθη,
Καί σφισι τειρομένοις ταχὺς ἵξεται ἀσπιδιώτης,
Ἀθανάτην ἐπίκουρον ἀεί σφισι χεῖρα τιταίνων.
Δευομένους τ' ἀδίκοιο βίης ἀπολύσετ' ἀλιτρῶν.
Ἐκ δὲ κακῶν σώζοιντο μεμηλότες ἐλπίδι θείῃ.

## ΨΑΛΜΟΣ ΛΖ'.

Μιμνήσκων παθέων βροτέων Δαυῖδος ἀμύμων
Ὧν πάθε, καὶ παθέων πανυπέρτερος ἔσκε πεπονθὼς,
Ἀμφὶ τριηκουστὸν μέλος ἕβδομον ἴαχε μέλπων.
Μή με τεὸς βαρύμηνις, Ἀχήρατε, θυμὸς ἐλέγξῃ,
C Μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή·
Οὕνεκ' ἐμοῖς μελέεσσι τεοὶ κατέπηχθεν ὀϊστοί.
Καί σευ ὅπως δηίην μοι ἐπεστήριξας χεῖρα.
Τίς κ' ἐμὸν ἐξακέσαιτο δέμας σέο μηνίσαντος;
Ἢ πόθεν ὀστείοισιν ἐμοῖς ἀνάπαυμα φανείη,
Πάντοθεν ἀμπλακίῃσιν ἐλαυνομένῳ στυγερῇσι;
Δυσφροσύναι καθύπερθεν ἐμεῦ βεβάασι καρήνου·
Φόρτῳ ἐπαυχενίῳ καὶ ἐπαχθεῖ εἰσὶν ὁμοῖαι·
Ἀφροσύνῃ μώλωπες ὀδωδότες ἀμφί μ' ἔσηφθεν.
Δείλαιος γενόμην, κατὰ δ' αὐχένα πάντοτ' ἐκάμφθην.
Ἀσχάλλων κακότητι, πανημαδὸν ἤνυον οἶμον.
Οὕνεκά μευ κατέρυκεν ἀπείριτα παίγνια θυμόν.
Οὔ μευ παυσωλὴν ὀδύνης δέμας οἶδεν ἑλέσθαι·
D Εἰμὶ λίην χθαμαλὸς βεβολημένος ἄλγεσι νούσου,
Νωϊτέρης κραδίης ὠρυόμενος στοναχῇσιν.
Ἄληθιτε, ἀλλ' ἐμὸν αὐτὸς ἐποπτεύσειας ἐέλδωρ·
Οὐδέ σε νωϊτέρη στοναχὴ λάθεν εἰδότα πάντα.
Ὠρίνθην κραδίην, μελέων δ' ἀπεχάζετο κῖκυς·
Ὀφθαλμῶν δ' ἐρατεινὸν ἐμῶν ἐξέφθιτο φέγγος.
Ἄντα φίλοι πεφόβηντο, πόδας δ' ἔστησαν ἑταῖροι.
Οἱ δέ μευ ἄσσον ἰόντες, ἀπόπροθι νοσφίζοντο.
Ἆ! με τόσον βιόωντο, φίλον διζήμενοι ἦτορ!
Ἆ! πῶς μαψιδίως λάλεον, κατὰ μαστεύοντες,
Θήγοντες δολεροῖσι πανημαδὸν αἴσχεσι γλώσσας!

Αὐτὰρ ἐγὼ γενόμην ὡς οὐκ ἀΐοντι ἐοικώς,
Οἷά τε παντοίων ἐπέων ἀδάητος ἐών τις,

Παντοίης ἀκοῆς ἀδαήμονι φωτὶ ἐοικως,
Ὅς τε διὰ γλώσσης προφέρειν οὐκ οἶδεν ἐλέγχους.
Ἐλπὶς ἐμὴ, λίτομαι· σὺ δέ μευ καλέοντος ἀκούσαις.
Εἶπα γάρ. Ἀντιβίοισιν ἐγὼ μὴ χάρμα γενοίμην.
Κινήσαντί μοι ἴχνος ἐπέχραον ὑβριστῆρες.
Ἡμέτερον κρυεροῖσι δέμας μάστιξιν ἑτοῖμον·
Οὐδέ μευ ὀφθαλμῶν ἀπολείψεται αἰὲν ἀνίη·
Δυσνομίην ἐρέων οὐ λήσομαι ἀμπλακιάων.
Δυσμενέες θαλέθοντες ἐμεῦ κρατερώτεροί εἰσι.
Καί με περιπλήθουσιν ἐπεχθαίρωντες ἀθέσμως,
Οἵ τ' ἐμοὶ ἀντ' ἀγαθῶν κακοεργέα μισθὸν ἔδωκαν,

Καί με δίκης συνέριθον ἐπεσβολίῃσιν ἔβαλλον,
Μή μευ ἀποσταίης, Πανεπίσκοπε, μηδὲ μεθείης.
Πέμπε μοι, Ἄφθιτε, πέμπε τεὴν ἐπίκουρον ἀπωπήν.

## ΨΑΛΜΟΣ ΛΗ'.

Δαυΐδου κλυτὸς ὕμνος, ὅτ' Ἰδιθοῦμος ἄειδεν
Ἀμφὶ τριηκοστὸν ὄγδοον ἡδὺ μέλος.
Ἡμετέρην ἀπάνευθε κακῶν ὁδὸν, εἶπα, φυλάξω,
Γλῶσσαν ἀτασθαλίῃ μευ ἐπὴν πολύμυθον ὀρίνῃ,

Ἡμετέροις φυλακὴν εὐερκέα χείλεσι θῆκα,
Θωρηχθεὶς ὅτε δή μοι ἀτάσθαλος ἀντιφερίζῃ.
Κωφὸς ὅπως χθαμαλός τ' ἀγαθοῖς σίγησα μεμηλώς·
Εὐνασθὲν δέ μοι ἄλγος ἀνέγρετο δεύτερον αὖθις.
Ἔνδοθι θυμὸς ἐμὸς φλογερῷ θερμαίνετο πυρσῷ,
Ἐν δ' ἄρ' ἐμῇ μελέτῃ καυθήσεται ἀκάματον πῦρ.

Εἶπα, Μάκαρ, βιότοιο φίλην φράσον ἄμμι τελευτήν.
Ἔννεπέ μοι ζωῆς ὁπόσον θέσπισας ἀριθμὸν,
Ὄφρα διαγνοίην τί νύ μοι περιλείπεται ἄλλο.
Ἤματα δή μοι πάντα παλαίτατα θήκαο, Ποιμὴν,
Καὶ μάλα ῥίζαν ἐμῆς βιοτῆς ἀχρήιον ἔγνως·
Πάντων μαψιδίως μερόπων ζώουσι γενέθλαι,

Ἔπα γε μὴν ἄνθρωπος ὁμῶς δαιδάλματι βαίνει,
Μαψιδίως κατὰ θυμὸν ὀρινόμενος πεφόρηται·
Ἀγνώσσει τίνι πάγχυ πολὺν βίοτον ξυναγείρει.
Ἆρ' οὐχ ἐλπὶς ἐμὴ Βασιλεὺς καὶ πύργος ἐτύχθη;
Πὰρ δ' αὐτοῦ βιότοιο λάχον φυσίζοον ἕρμα.
Πασάων, Βασιλεῦ, μ' ἀπολύσεαι ἀμπλακιάων.
Ἀνδράσι μ' ἀφραίνουσιν ἐλεγχέα μῶμον ἔδωκεν (29).

Ἔτλην κωφὸς, ἄναυδος· ἐπεὶ σύ με τοῖον ἔτευξας.

Σεῖο, Μάκαρ, μάστιγας ἐμεῦ ἀπὸ πάμπαν ἐλάσσαις·
Σεῖο γὰρ εὐσθενέος παλάμης ὕπο θυμὸν ἀχεύω.
Ἄνδρ' ὑπὲρ ἀμπλακίης ὀλοῆς παίδευσας ἐλέγχων,
Καί οἱ θυμὸν ἔτηξας ἀμήχανον ἶσον ἀράχνῃ.

Ζωὴ μαψιδίη μεροπηΐδος ἐστὶ γενέθλης.
Εὐχωλῆς ἐπάκουσον ἐμῆς, ἐπικέκλυθι δ' ἀρῆς,
Μηδέ με δακρυχέοντα. Μάκαρ, σιγῇ παρελάσσῃς.

A Cæterum ego fui tanquam non audienti similis,
Sicutque variorum verborum inscius existens ali-[quis,

Variæ auditionis ignaro viro similis,
Quique in lingua proferre non novit redargutiones.
Spes mea, precor, tu vero me vocantem audias.
Dixi enim : Hostibus ego ne ludibrium fiam.
Moventi mihi vestigium urgebant contumeliosi.
Nostrum horridis corpus flagellis paratum :
Neque meos oculos relinquet semper mœror.
Iniquitatem annuntians non celabo peccata.
Inimici florentes me fortiores sunt.
Et mei abundant osores iniqui,
Quique mihi pro bonis malignam mercedem de-[derunt,

B Et me justitiæ conviciis petebant.
Ne a me discedas, omnium Inspector, neque deseras.
Mitte mihi, Incorrupte, mitte tuum auxiliarem [vultum.

## PSALMUS XXXVIII.

*Davidis præclarus hymnus, cum Idithumus cecinit.*
*Circa tricesimum octavum dulce carmen.*
Nostram procul a malis viam, dixi, custodiam,
Linguam superbia meam qnando garrulam com-[movet.

Nostris custodiam probe clausam labiis posui.
Armatus quando utique mihi improbus repugnabit.
Mutus tanquam humilisque a bonis silui sedulus.
Sopitus vero mihi dolor recruduit secundo rursum.
Intus animus meus fervido concaluit igne,
C In autem utique mea meditatione ardescet irre-[quietus ignis.

Dixi, Beate, vitæ charum dic nobis finem,
Dic mihi vitæ quotum statuisti numerum,
Ut sciam quid mihi reliquum sit aliud.
Dies sane mihi omnes vetustissimos posuisti, Pastor,
Et valde radicem meæ vitæ inutilem cognovisti.
Cunctorum incassum mortalium vivunt genera-[tiones.

Verumtamen homo perinde ac simulacrum graditur
Frustra in animo conturbatus portatur :
Ignorat cui multum victum congregat.
Nonne spes mea Rex et turris est?
Apud vero ipsum vitæ inveni vitale firmamentum.
Omnibus, Rex, me libera peccatis
D Viris me insipientibus indecorum opprobrium de-[disti.

Sustinui surdus, mutus, quoniam tu me talem fe-[cisti.

Tuas, Beate, plagas a me prorsus amoveas :
Tua enim forti manu in animo doleo.
Virum pro peccato lethali castigasti corripiens,
Et ipsi animum liquefecisti impotentem sicut ara-[neam.

Vita vana mortalis est generationis.
Orationem exaudi meam, audi vero deprecationem.
Neque me lacrymantem, Beate, silentio prætereas.

(29) Ἔδωκεν. Legisse videtur interpres, ἔδωκας, Edit.

Quoniam ego hospes terræ simul et peregrinus,
Et patribus meis æque popularis pariter.
Refice laboribus me, ut gratum cor colligam.
Ante me abire, unde non amplius sane revocabilem
[venire.

## PSALMUS XXXIX.

*Nonum bonum carmen, tricesimum circa cantum*
*Locutus est David delectatus cithara.*

Tolerans spectatorem Deum et vindicem exspe-
[ctavi.
Nostram vera suscepit supplicem auribus precem.
Eduxit vero de fovea et cœno limoso :
Cæterum meos petræ forti firmavit pedes,
Vestigium suis in semitis meum dirigens.
Labiis nostris suum submisit hymnum,
Nostro inclytum hymnum præpotenti Regi.
Metuentes videant, sperentque Pastorem multi.
Beatus cui Dei nomen inclytum est,
Rabie falsa, et vano absque consilio.
Multa tibi perfecta sunt, Rex, stupenda opera,
Neque tuis consiliis est similis alius.
Annuntians divi quæ plus sint numeris.
Dona pro peccato, sacrificium vero recusasti omne.
Cæterum mihi mortalis fabricatus es carnem ge-
[nerationis.
Non igne desiccatum accepisti prorsus sacrificium.
Itaque huc veni perficere, Pater, quod jubes.
De me scriptum est in libri capite :
Tuam perficere cupivi, Beate, animis voluntatem.
Et tuam medio posui in pectore legem.
Justitiam casæ sonoræ exposuerunt viri :
Nunquam a mandato mea labia prohibebo ;
Ipse meam animis justitiam scisti.
Non tuam veritatem obscura mente posui abscon-
[dens.
Palam vero dixi salutare tuum lumen :
Ostendi tuam casæ misericordiam et verum con-
[silium.
Itaque neque tu seorsum nutricem manum impedies
Fove tua me misericordia et vero semper consilio ;
Quoniam me dolor habet multus illic et illic.
Prævenerunt vitia me, lux vero meis absconsa est
[ab oculis :
Et mei plura capitis facta sunt capillis,
Ob vero imbecillitatem membrorum evolavit animus
Sed egeno mihi ultro adjutor venias,
Nostrum oculis inspicias auxilium.
Dedecus capiat eos qui cor meum cupiunt perdere :
Circumagatur vituperabilis qui mihi mala molitur.
Cito capiat illos dedecus mea gaudentes calamitate.
Gaudium et lætitia divum genus complectatur :
Semper dicant gloriosa dona Dei,
Qui desiderant salutare tuum lumen.
De me sollicitus sis mendico, Beate, et paupere,
Nunquam tardes mihi invocanti adesse.

## PSALMUS XL.

*Cantum quadragesimum rex David cecinit.*

Beatus qui egenum curat et pauperem :
Non eum necessario despiciat die Pastor.

A Οὕνεκ' ἐγὼ ξεῖνος γαίης ἅμα καὶ μετανάστης,
Καὶ τοκέεσσιν ἐμοῖσιν ὁμῶς μεταδήμιος αὔτως.
Ἄμπαυσον καμάτων με, ὅπως φίλον ἦτορ ἀγείρω,
Πρίν με μολεῖν, ὅθεν οὐκέτι δὴ παλινάγρετον ἐλθεῖν.

## ΨΑΛΜΟΣ ΛΘ'.

Εἴνατον ἐσθλὸν ἄεισμα τριηκοστῇ περὶ μολπῇ.
Φθέγξατο Δαυΐδος τερπόμενος κιθάρῃ.

Τετληὼς σπτῆρα Θεὸν καὶ ἀρωγὸν ἐδέγμην.
Ἡμετέρην δ' ὑπέδεκτο πολύλλιτον οὔασιν εὐχήν.
Σπάσατο δ' ἐκ βόθρου καὶ τέλματος ἰλυόεντος·
Αὐτὰρ ἐμὰς πέτρῃ σταθερῇ στηρίξατο πέζας,
Ἴχνος ἑαῖς ἐν ἀταρπιτοῖς ἐμὸν ἡγεμονεύων.
Χείλεσιν ἡμετέροισιν ἑὴν ὑπεθήκατο μολπὴν,
B Νωιτέρῳ κλυτὸν ὕμνον ἐρισθενέτῃ Βασιλῆϊ.
Δειδιότες δέρκοιντ', ἔλποιντό τε Ποιμένα πολλοί.
Ὄλβιος, ᾧτε Θεοῦ ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη,
Λύσσης ψευδαλέης καὶ μαψιδίης δίχα βουλῆς.
Πολλά τοι ἐκτετέλεσται, Ἄναξ, περιθαμβέα ἔργα·
Οὐδὲ σέθεν βουλῆσιν ἔφυ πανομοίιος ἄλλος.
Ἀγγέλλων κατέλεξα, τάπερ πλέον εἶεν ἀριθμῶν.
Δῶρ' ὑπὲρ ἀμπλακίης· θυσίην δ' ἠρνήσατο πᾶσαν·
Αὐτὰρ ἐμοὶ βροτέης τεκτήναο σάρκα γενέθλης.
Οὐ πυρὶ καρφομένην προσεδέξαο πάγχυ θυηλήν.
Τοὔνεκα δεῦρ' ἱκόμην τελέσαι, Πάτερ, ὅττι κελεύεις.
Ἀμφ' ἐμέθεν γέγραπται ὑπὲρ βίβλοιο καρήνου·
Σὸν τελέσαι μενέηνα, Μάκαρ, πραπίδεσσιν ἐέλδωρ,
Καὶ σεο μεσσατίῳ ἐθέμην ἐν στήθεϊ θεσμόν.
C Εὐδικίην κλισίη πολυηχέϊ πέφραδον ἄνδρες·
Οὐδέ ποτ' ἀγγελίης ἐμὰ χείλεα πάμπαν ἐρύξω.
Αὐτὸς ἐμὴν πραπίδεσσι δικαιοσύνην δεδάηκας·
Οὔ σεο ἀληθείην σκοτίῃ φρενὶ θῆκα καλύψας·
Ἀμφαδίην δ' ἀγόρευσα ἀλεξίκακον σέο φέγγος·
Φῆνα τεὸν κλισίῃς ἔλεον καὶ ἀληθέα βουλήν.
Τοὔνεκα μηδὲ σὺ νόσφιν ἀρηγόνα χεῖρα πεδήσεις.
Θάλπε τεῷ μ' ἐλέῳ καὶ ἀληθεῖ πάντοτε βουλῇ,
Οὕνεκά μ' ἄλγος ἔχει περιώσιον ἔνθα καὶ ἔνθα.
Ἔφθασαν ἀμπλακίαι με, φάος δέ μευ ἔκρυφεν ὄσ-
[σων.
Καί μευ πλειότεραι κεφαλῆς ἐγένοντο κομάων,
Ἐκ δ' ὀλιγηπελίης μελέων ἐξέπτατο θυμός.
D Ἀλλ' ἐπιδευομένῳ μοι ἑκὼν ἐπιτάῤῥοθος ἔλθοις,
Νωιτέρην ὄσσοισιν ἐποπτεύσειας ἀρωγήν.
Αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι·
Στρεφθείη μωμητὸς, ὅ μοι κακὰ βυσσοδομεύει.
Αὐτίχ' ἕλοι τούσδ' αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ,
Χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι.
Πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,
Ὁσσάτιοι ποθέουσιν ἀλεξίκακον σέο φέγγος.
Ἀμφ' ἐμεῦ ὁρμαίνοις πτωχοῦ, Μάκαρ, ἠὲ πενιχροῦ·
Μήποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

## ΨΑΛΜΟΣ Μ.

Κῶμον τεσσαρακοστὸν ἄναξ Δαυΐδος ἔπελψεν.
Ὄλβιος, ὃς πτωχοῦ περικήδεται ἠδὲ πενιχροῦ·
Οὔ μιν ἀναγκαίῳ ὑπερόψεται ἤματι Ποιμήν.

Φρουρὸν ἔχοι Βασιλῆα, βίου θ' ἅμα κηδεμονῆα,
Καὶ θεόθεν μακαριστὸς ὅλην ἀνὰ γαῖαν ἀκούσοι·
Οὐδέ μιν ἀντιβίοισιν ἕλωρ παλάμῃσι μεθείη,
Ἀλλὰ καὶ ἐν κακότητος Ἄναξ λεχέεσσιν ἀρήγοι·
Δέμνιά οἱ μετέθηκεν, ἔλυσε δὲ κήδεα νούσου.
Αὐτὸς, Ἄναξ, ἐβόησα τεὴν ἐλεητὺν ἀρωγόν·

Ὄφρα μευ ἐξακέσαιο κακῶν ἀλιτήμονα θυμόν.
Κήδεά μοι φράσσαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες,
Εὐχόμενοι, πότε μευ βιότου μνημήιον ἔρροι.
Νίσσετο μαψιδίως ὁρόων, ματίην τ' ἀγορεύων,
Ἀμπλακίην ξυνάγειρεν ἐμῷ ζηλήμονι θυμῷ.
Ἐκτὸς ἰὼν ἀγόρευεν, ἐμοὶ ξύμπαντας ἀγείρων.
Πάντες ἐπιτρύζεσκον ἀπεχθέες ἀμφ' ἐμοὶ ἄνδρες.
Ἀμφὶ δέ μοι φράζοντο κακῶν βαρυπήμονα φόρτον,
Μῦθον δυσνομίῃ πεπυκασμένον ἐντύνοντες·
Μὴ κατακοιμηθείς τις ἀεὶ κατὰ νήγρετον εὕδοι;
Εἰρήνης βροτὸς οὗτος· ἐμοῖο γὰρ ἐλπὶς ἐτύχθη.
Ὃν τρέφον, ἐχθρὸν ἔχον, πτέρνης δέ με μείονα θῆ-
[κεν.
Ἀνστήσας μ' ἐλέησον, ἵνα σφίσιν ἄξια δοίην.
Σῆς ἀγανοφροσύνης ἔνθεν, Μάκαρ, ἴδρις ἐτύχθην·
Ἐφρασάμην, ὅ μοι οὔτι μάτην κεχαρήσεται ἐχθρός.

Οὕνεκεν ἀκακίης μευ, Ἄναξ, ἐπίκουρος ἀνέστης,

Καί με διηνεκέως σεῦ ἐνωπαδὸν ἐρρίζωσας.
Αἰνετὸς αἰὲν ἔφυ Θεὸς ἄφθιτος Ἰσραήλου·
Αἰώνων αἰῶνας ἀεὶ πανυπέρτατος εἴη.

## ΨΑΛΜΟΣ ΜΑ'.

Εἰς πινυτήν ποτε παισὶν ὑπερθύμοιο Κοραίου
Κῶμος τεσσαρακοστὸς ἕνι καὶ πρῶτος ἀοιδῆς.
Ἠΰτε πηγαίων ὑδάτων κεμὰς ἱμείρουσα,
Ὣδ' ἐμὸς ἱμείρει σευ, Ἄναξ πανυπέρτατε, θυμός.
Ζωὸν ἐμὸν δίψησε καταβρῶξαι Θεὸν ἦτορ.
Τίς χρόνος, εὖτ' ἀναφανδὰ Θεὸν βροτὸς ὄψομαι ὄσ-
[σοις;
Ἦμαθ' ὁμοῦ καὶ νύκτας ἔχον γόον οἷά περ ἄρτον,

Πάντοτε βαζόντων· Πῆ δὴ Θεὸς ἔπλετο σεῖο;
Τῶνδε παρεμνήσθην, πρόχεον δ' ἐμὸν ἀμφ' ἐμὲ θυ-
[μὸν,
Οὕνεκα θηητὸν κλισίης διελεύσομαι οὖδας,

Ἔνθεν ἕως Βασιλῆος ἐπουρανίοιο μελάθρων,
Αἶνον τερπωλῆς τε μετὰ κλυτὸν ἦχον ἑορτῆς.
Θυμὲ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις;

Ἐλπίς τοι Θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
Αὐτὸς ἐμῆς τελέθει πανεπίσκοπον ἄλκαρ ἀπωπῆς.
Αὐτόματος δεδόνητο μετὰ φρεσὶ θυμὸς ἐμῇσι.

Τοὔνεκ', Ἄναξ, καλέσω σε Ἰορδανίης ἀπὸ γαίης,
Ἔκ θ' Ἑρμονιίμου· τὸ δέ τοι ὄρος ἔπλετο τυτθόν.
Ὀρφναίη τις ἄβυσσος ἀνηΰτεσκεν ἄβυσσον·
Ῥηγνυμένων ξυνιοῦσα τεῶν ὑδάτων ἐπιωγῇ.
Κύματά σευ μετ' ἔμ' ἦλθε, βάρυνε δὲ μέρμερα πάν-
[τα.
Ἦματ' Ἄναξ ἔλεον κέλεται, καὶ νυκτὶ φαείνει.

A Custodem habeat Regem, vitæque simul curatorem,
Et divinitus beatissimus totam per terram audiat:
Neque eum hostilibus prædam manibus permittat,
Sed et in afflictionis Rex cubilibus adjuvet:
Strata ipsi versavit, solvit vero molestias morbi.
Ipse, o Rex, clamavi tuam misericordiam vindi-
[cem:

Ut meum sanes malis nocentem animum.
Molestias mihi excogitarunt improbi et infesti viri,
Precati, quando meæ vitæ memoria evanescat.
Ibat frustra videns, vanitatemque loquens.
Iniquitatem congregavit meo æmulo animo.
Extra iens loquebatur mihi omnes congregans.
Omnes susurrabant infensi adversum me viri:
Adversum vero me cogitabant malorum grave onus,
B Verbum iniquitate munitum adornantes
Nunquid sopitus aliquis semper profunde dormiat?
Pacis mortalis iste: mea enim spes est.
Quem alebam, hostem habebam, calce autem me
[minorem posuit.
Suscitans me miserare, ut ipsi digna retribuam.
Tuæ bonitatis hinc, Beate, sciens fui:
Cogitavi, quod mihi non aliquid frustra gaudebit
[hostis.
Propter innocentiam meam, Rex, adjutor surre-
[xisti,
Et me in æternum tuo in conspectu confirmasti.
Laudandus semper est Deus incorruptus Israelis
Sæculorum in sæcula semper supremus sit.

## PSALMUS XLI.

C *In prudentiam olim filiis magnanimi Core*
*Cantus quadragesimus et primus carminis.*
Quemadmodum fontanas aquas cerva desiderans,
Ita meus desiderat te, Rex supreme, animus.
Vivum meum sitivit deglutire Deum cor:
Quod tempus, quando palam Deum mortalis videbo
[oculis?
Dies simul et noctes habebam luctum tanquam
[panem.
Semper dicant: Ubi igitur Deus est tuus?
Hæc recordatus sum, effudi vero meam in me ani-
[mam.
Quoniam admirabile tabernaculi transibo pavimen-
[tum,
Hinc usque ad Regis cœlestis palatia,
D Laudem delectationisque post inclytum sonum festi.
Anima, quid moraris? quid vero mihi mentem in-
[tus concitas?
Spes tibi Deus sit: ego vero ipsi laudem canam:
Ipse mei est præsens auxilium aspectus:
Voluntarius conturbatus est in præcordiis animus
[meis.
Propterea, Rex, vocabo te Jordanis de terra,
Deque Hermonis, hic vero tibi mons erat modicus:
Obscura quæpiam abyssus invocabat abyssum,
Erumpentium concurrens tuarum aquarum littori.
Fluctus tui super me venerunt, premunt vero mo-
[lesta omnia.
Die Rex misericordiam mandat, et nocte lucet:

Oratio apud me Deo regi vitæ :
Dixi Deo : Quare mei sic oblitus semper es ?
Quare contristatus incedo hinc et hinc,
Viro hoste me affligente mœrore ?
Hostes exprobraverunt quando ossa omnia fracta [sunt :
Semper mihi dicunt : Deus ubi est tuus ?
Anima, quid moraris ? quid vero mihi mentem in- [tus concitas ?
Spes tibi Deus sit, ego vero ipsi laudem canam :
Ipse mei est supremum auxilium aspectus.

PSALMUS XLII.

*Suave in sacro istud etiam in quadragesimo*
*David prudens secundum cecinit carmen.*

Judica, Rex, quanta utique me iniqua læsit gens :
Viro a doloso et ab iniquo me serves.
Robur meum, quid me te tantum dimittis seorsim ?
Quare tristis incedo hinc et hinc,
Viro hoste me affligente mœrore ?
Lumen veritatemque tuam claram mittas,
Quibus illuminatus tuum in montem veniam san- [ctum,
Et tuis clarissimis contubernalis sum palatiis.
Altare gloriosum Dei adibo jam,
Qui meam lætificet gratiam virescentis pubertatis,
Sonora cithara, Beate, tuam laudem canam.
Anima, quid moraris ? quid vero mihi mentem in- [tus concitas ?
Spes tibi Deus sit, ego vero ipsi laudem canam :
Ipse mei est præsens auxilium aspectus.

PSALMUS XLIII.

*In prudentiam filiis magnanimi Core*
*Cantus iste tertius et quadragesimus est.*

Auribus nostris audivimus, æterne Pastor,
Nobis chari olim narraverunt parentes
Opus, quod operatus est in antiquis generationibus.
Manus tua perdidit gentes, et plantasti patres.
Populos evertisti, sua vero expulisti terra.
Neque enim possederunt suo antea gladio terram,
Neque bellicosum hostium servavit brachium,
Sed tua manus, et tui ingens lumen vultus,
Quoniam tuo animo confidens ipsos voluisti coer- [cere.
Ipse Rex meus est ; Deus vero meus semper es,
Qui Jacobo vitæ mandasti lumen.
Te freti cornibus robur trucidamus hostium,
Nomen tuum invocantes, insurgentes rideamus.
Non enim in nostro efferor spe arcu.
Neque a malis acutus ensis me procul servet.
Ipse Rexque, ab opprimentibus nos liberasti, Pastor:
Vituperandos vero demonstrasti infensos viros no- [bis.
Diurnum decus nobis apud immortalem Regem,
Et tuum assidue canemus nomen divinum.
Nunc autem dedecus effudisti repellens tantum nos,
Neque armatis occurres ut antea adjutor.
Conversi horridis facti sumus inferiores hostibus,
Inimicisque direptio ante pedes sumus parata.

A Εὐχωλὴ παρ' ἐμεῖο Θεῷ βασιλῆι βιώνης.
Εἶπα Θεῷ· Τί μευ ὧδε λελασμένος αἰὲν ἐτύχθης ;
Τίπτε κατηφιόων παρανίσσομαι ἔνθα καὶ ἔνθα,
Ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ ;
Δυσμενέες νείκεσσαν, ὅτ' ὀστέα πάντα ἔαχθεν·
Πάντοτε μοι βάζουσι· Θεός νυ ποῦ ἔπλετο σεῖο ;
Θυμὲ, τὶ δηθύνεις ; τί δέ μοι νόον ἔνδον ὀρίνεις ;
Ἐλπίς τοι Θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
Αὐτὸς ἐμῆς τελέθει πανυπερτατον ἄλκαρ ὀπωπῆς.

ΨΑΛΜΟΣ ΜΒ'.

Μείλιχον ἀμφ' ἱερῷ τόδε καὶ ἐν τεσσαρακοστῷ
Δαυΐδος πινυτὸς δεύτερον ᾖσε μέλος.

Κρῖνον, Ἄναξ, ὅσα δή μ' ἄδικον λωβήσατο φῦλον·
B Ἀνέρος ἐκ δολεροῖο καὶ ἐξ ἀδίκου με σαώσεις (30).
Κάρτος ἐμὸν, τί με σεῖο τόσον μεθέηκας ἄνευθε ;
Τίπτε κατηφιόων μετανίσσομαι ἔνθα καὶ ἔνθα,
Ἀνδρὸς δυσμενεος με καταθλίβοντος ἀνίῃ ;
Φεγγος ἀληθείην τε σεθεν περιλαμπέα πέμποις,
Οἷσι φαεινόμενος τεὸν εἰς ὄρος ἵξομαι ἁγνὸν,
Καί σεο κυδίστοισιν ὁμεστιός εἰμι (31) μελάθροις.
Βωμὸν ἀγακλήεντα Θεοῦ μετελεύσομαι ἤδη·
Ὅς μευ εὐφρήνειε χάριν νεοθηλέος ἥβης·
Εὐκελάδῳ φόρμιγγι, Μάκαρ, τεὸν αἶνον ἀείσω.
Θυμὲ, τί δηθύνεις ; τί δε μοι νόον ἔνδον ὀρίνεις ;
Ἐλπίς τοι Θεὸς ἔστω, ἐγὼ δε οἱ αἶνον ἀείσω
Αὐτὸς ἐμῆς τελεθει πανεπίσκοπον ἄλκαρ ὀπωπῆς·

C ΨΑΛΜΟΣ ΜΓ'.

Εἰς πινυτὴν τεκέεσσιν ὑπερθύμοιο Κοραίου
Κῶμος ὅδε τρίτατος καὶ τεσσαρακοστὸς ἐτύχθη.
Οὔασιν ἡμετεροις ἠκούσαμεν, ἄφθιτε Ποιμήν·
Ἄμμι φίλοι τὸ πρόσθεν ἀφηγήσαντο τοκῆες
Ἔργον, ὅπερ τέκτηνας ἐν ἀρχαίῃσι γενεθλαις.
Χεὶρ σεθεν ὤλεσε φῦλα, καὶ ἐῤῥίζωσε γονῆας.
Λαοὺς ἐξαλάπαξας, ἑῆς ἐξήλασας αἴης.
Οὐδὲ γὰρ ἐκλήρωθεν ἑῷ πάρος ἄορι γαῖαν,
Οὐδὲ μενεπτόλεμος δηίων ἐσάωσε βραχίων,
Ἀλλὰ τεὴ παλάμη, καὶ σῆς μέγα φεγγος ἐπωπῆς·
Οὕνεκα σῷ θυμῷ πεπιθὼς σφεας ἤθελες ἴσχειν.
Αὐτὸς ἄναξ ἐμός ἐσσι, Θεὸς δε μευ αἰὲν ἐτύχθης,
Ὅστις Ἰακώβῳ ζωῆς ἐπετείλαο φεγγος.
Σοὶ πίσυνοι κεράεσσι βίην ἐναρίζομεν ἐχθρῶν.
D Οὔνομα σὸν καλέοντες ἐπεγρομενους γελάσαιμεν.
Οὐ γὰρ ἐφ' ἡμετερῳ μεγαλίζομαι ἐλπίδι τόξῳ,
Οὐδὲ κακῶν τανύηκες ἄορ μ' ἀπάνευθε σαώσοι.
Αὐτὸς Ἄναξ τ', ὠθούντων ἄμμ' ἀπελύσαο, Ποιμὴν,
Μωμητοὺς δ' ἀνέφηνας ἀπεχθεας ἀνέρας ἡμῖν.
Ἠμάτιον κλέος ἄμμι παρ' ἀθανάτῳ Βασιλῆι,
Καί σεα νωλεμεως ἀναμελψομεν οὔνομα θεῖον.
Νῦν δ' αἶσχος κατεχευας, ἀπωσάμενος τόσον ἡμεας·
Οὐδὲ κορυσσομενοις μετανίσσεαι ὡς πρὶν ἀρωγός·
Στρεφθεντες κρυερῶν γεγενήμεθα μείονες ἐχθρῶν,
Εχθομενοις θ' ἅρπαγμα παραὶ ποσίν εἰμεν ἑτοῖμον.

(30) Σαώσεις. Forte, σαώσαις. Edit.
(31) Ὁμέστιός εἰμι. Forte, ὁμέστιος εἶμι, *ibo*, id est *efficiar*. Edit.

Ἡμέας οἷά τε μῆλα μετ' εἰλαπίνησιν ἔδωκας,
Ἐκ δ' ἐκέδασσας ἄνευθε πολυσπερέας κατὰ δήμους.
Ἀπρίατον, ἀνάποινον, Ἄναξ, ἀπετίσαο λαόν.
Οὐδέ τις ἦεν ἀριθμὸς ἀμοιβαίης χάριν ὠνῆς.
Γείτοσιν ἄμμε ὄνειδος ἅπασι πέριξ τε γέλωτα,
Ἔθνεσιν ἄμμε λάλημα πολύθροον ἐξανέφηνας,
Καὶ λαοῖς ψυγεροῖς κεφαλῆς κίνημα γελοῖον.
Ὀφθαλμῶν μευ ἔναντα πανημαδὸν ἔσσυτ' ἔρευθος,

Καί με λίην ἐκάλυψεν ἀμειδέος αἶσχος ὀπωπῆς,
Ὑβριστῆρος ὁμοῦ καὶ ἐλεγχέος ἀνέρος αὐδῇ,
Ὄμμασι δυσμενέος καὶ ἐμῆς φύζης ἐλατῆρος,
Ἀλλ' οὐ τοσσατίων λαθόμεσθά σευ εἵνεκα, Ποιμήν,
Οὐδὲ τεῶν μήνυμα παρήλθομεν ἁρμονιάων

Οὐδὲ σέθεν κραδίαν ἐστρέψαμεν ἔκτοθι πάμπαν·
Ἡμείων δ' ἀπάνευθε τεὰς ἔγλινας ἀταρπούς.
Ἀδρανέας δαπέδοισι κακῶν τεκτήναο νούσων,
Καὶ σκιερῇ θανάτοιο κατεκρύφθημεν ὀμίχλῃ.
Εἴ ποτε νωιτέροιο λελάσμεθα πάγχυ Θεοῖο,
Εἰ θεῷ ἡμετέρας παλάμας ἐπετάσσαμεν ἄλλῳ·
Ἆρ' οὐκ Ἄφθιτος αὐτὸς ἀνιχνεύσει τάδε πάντα;
Αὐτὸς γὰρ βροτέης κραδίης κευθμῶνας ἀνέγνω.
Σεῖο χάριν θανάτῳ δεδμήμεθα πάντοτε, Ποιμήν·
Κτεινομένοις γενόμεσθα βίην μηλοῖσιν ὁμοῖοι.
Ἔγρεο, Παμβασιλεῦ· τί νύ μοι τόσον ὕπνον ἀωτεῖς;

Ἔγρεο, μηδὲ σέθεν βλεφάρων ἀπὸ νόσφιν ἐλάσσῃς.
Τίπτε τεὴν ἔστρεψας ἀγακλήεσσαν ὀπωπήν,
Μόχθων θ' ἡμετέρων, πενίης τ' ἀπελήσαο (32) πάμ-
[πάν;
Ἡμέτερος κονίῃσι πανείκελος ἔφθιτο θυμός·
Νηδὺς ἐλεγχήεσσα δύῃ περιπίλναται αἴῃ.
Ἔγρεο, Παμβασιλεῦ, ἐπαρηγόνα χεῖρα τιταίνων·
Ῥύσεο δ' ἀπρήκτοιο σέθεν χάριν ἡμέας ἄτης.

ΨΑΛΜΟΣ ΜΔ'.

Τηλυγέτοιο Θεοῖο γονὴν μέλπουσιν ἀγητὴν
Ἔργοις υἱέες αὖθις ἀμειβομένοισι Κοραίου.
Οὗτος τεσσαρακοστὸς ὁμοῦ καὶ τέτρατος ὕμνος.
Ἐσθλὸν νωιτέρη κραδίη τεκνώσατο μῦθον.
Ἔργ' ἐμέθεν Βασιλῆι περιφραδέως ἀγορεύσω.
Γλῶσσαν ἔχω καλάμῳ ὀξυγράφου ἀνδρὸς ὁμοίην.
Κάλλεϊ δ' ἀστράπτεις βροτέης περὶ ἄλλα γενέθλης.

Ἐκκέχυται πινυτοῖσι χάρις περὶ χείλεσι σοῖσι·
Τοὔνεκά σοι Θεὸς αἶνον ἀγήραον αὐτὸς ἀνῆψεν.

Ἄλκιμε, σὸν τανύηκες ἄορ περιβάλλεο μηρῷ,
Κάλλεϊ σῷ πίσυνος, καὶ ἀγακλέϊ θάρσυνος ὥρῃ.
Ἐντανύων δήθυνε, καὶ ἀρχεύων βασίλευε,
Εἵνεκα μειλιχίης ὁσίης, καὶ ἀληθέος ἔργου.
Σή σεο δεξιτερὴ περὶ θαύμασιν ἡγεμονεύσει.
Ἀλκήεντες ἔασσι τεθηγμένοι αἰὲν ὀϊστοί.
Λαοὶ πολλοὶ ἔνερθε σέθεν πτήξουσι πεσόντες,
Δυσμενέων βασιλῆος ἐπὶ στέρνοισιν ἑτοῖμοι.
Νωλεμέως, Ἄφθαρτε, ἀμαιμάκετος σέο θῶκος·
Ἰθυπόρον σκῆπτρον, σκῆπτρον βασιληΐδος αἴσης.

(32) Ἀπελήσαο. Forte, ἐπελήσαο. EDIT.

A Nos veluti oves in liguritionibus dedisti,
Dispersisti vero seorsim varios in populos:
Sine pretio, gratuitum, Rex, vendidisti populum,
Neque aliquis fuit numerus mutua pro emptione.
Vicinis nos opprobrium, omnibus undique risum
Gentibus nos sermonem multisonum exposuisti:
Et populis vituperandis capitis commotio ridicula.
Oculorum meorum in conspectu tota die sparsus
[est pudor.
Et me nimis cooperuit vultuosæ confusio faciei,
Flagitiosi simul et vituperandi viri voce,
Oculis inimici et meæ fugæ expulsoris.
Sed non tantorum obliti sumus tui causa, Pastor,
Neque tuarum significationem transgressi sumus
[compositionum,
B Neque te cor avertimus extra prorsus:
Nostri vero seorsum tuas declinasti semitas.
Infirmos locis malorum effecisti morborum,
Et opaca mortis tecti sumus nube.
Si quando nostri obliti sumus omnino Dei,
Si deo nostras manus expandimus alieno:
Nonne Immortalis ipse requiret hæc omnia?
Ipse enim mortalis cordis abscondita novit.
Te propter morte domiti sumus semper, Pastor:
Occisis facti sumus violentia ovibus similes.
Exsurge, Domine: quare mihi tantum somnum ca-
[pis?
Exsurge, neque a tuis palpebris procul repellas:
Quare tuum avertis splendidum vultum?
Laborumque nostrorum, paupertatisque oblitus es
[prorsus?
C Noster pulveribus persimilis defecit animus:
Venter deformis egenti appropinquatur terræ.
Exsurge, Domine, adjutricem manum porrigens.
Redime vero irrita te propter nos noxa.

PSALMUS XLIV.

*Unici Dei sobolem canunt mirandam*
*Factis filii rursus mutuis Core,*
*Iste quadragesimus simul et quartus hymnus.*
Bonum nostrum cor genuit sermonem.
Opera mea Regi sedulo eloquar.
Linguam habeo calamo velocis scribæ similem.
Pulchritudine vero fulges humanæ circa alia ge-
[nerationis.
Diffusa est prudentibus gratia in labiis tuis:
Propterea tibi, Deus, laudem immortalem ipse di-
D [cavit.
Potens, tuum acutum ensem assume femori,
Specie tua fretus, et percelebri confidens forma.
Intendens quiesce, et imperans regna,
Propter mansuetudinem sanctam, et verum opus.
Tua te dextera in miraculis deducet.
Fortes sunt acutæ semper sagittæ.
Populi multi sub te timebunt lapsi,
Inimicorum regis in pectora parati.
Indesinenter, Incorrupte, indomita tua sedes;
Dirigens sceptrum, sceptrum regalis portionis.

Justitiam diligis, odisti vero iniquum opus,
Propterea tibi Deus ipse suum circumfudit adipem,
Ungens lætitiæ consortibus præ omnibus oleo,
Myrrhaque et gutta, casiaque simul tuis a vestibus,

A domibus eburneis, quod et tuum animum exhilaras.
Filiæ tuum decus superborum regum.
Vestibus deauratis prope regina adstitit,
Probe induta crebris varietatibus formam.
Audi, filia videns, charam vero mihi aurem firmes:
Populi vero obliviscere tui, palatiorumque patris:
Itaque tuam rex honoratam concupivit formam.
Ipse enim etiam antea tui dominabatur imperans,
Et eum adorabant Tyri muneribus filiæ:
Divites terræ oculum precibus tuum deprecabuntur.
Intus gloria omnis regiæ erat puellæ:
Aureis circum amicta fimbriis ornatur.
Virgines Regi decus post reginam adducantur:
Tibi decus generosæ reginæ sunt sociæ.
Lætitiæ exsultationisque bonæ in fundamentum [adducantur,
Properantes in templum potentis Regis.
Pro tuis patribus filii tui pubescunt:
Eos constituas totius terræ principes.
Memor sim valde tui perpetuis generationibus,
In generationum generationes tuum nomen bo-[num canam.
Propterea te celebrabunt, Beate summe, populi,
Inde simul et deinceps et perpetuis generationibus,
Inde simul et deinceps et in æternitates sempiter-[nas.

## PSALMUS XLV.

*Cantus pro arcanis, quæ in lucem adduxit cithara Divina, quintus et quadragesimus est.*

Immortalis Deus refugium meum et robur est.
Circumdantibus adjutor nos ærumnis:
Propterea non timeamus commota valde terra,
Neque translatis montibus in præcordia ponti.
Sonorus gurgitibus suis tumultus elevatus est:
Montes divino robore conturbati sunt.
Lætificat fluminis Dei civitatem impetus.
Altissimus tabernaculum suum purum posuit.
Neque unquam ipsi desinat Deus circa media se-[dens:
Ex aurora auxiliarem habet providum oculum.
Inclinata sunt regna valida, turbatæ sunt vero gentes
Inclamavit vehementer, mota vero est terra.
Princeps cœlestium virtutum est nobis adjutor:
Ipse Jacobi propugnator Deus nobis est.
Agite, amici, Regis videamus divina opera,
Quæ super almam signa fecit terram.
Cessans bella totius ultra rotunditatem terræ,
Arcum conterat, et parmam bellicosam franget,
Et scuta fervidi comburet ignis impetu.
Intelligite capti, Deus æternus quoniam est.
Gentibus altissimus et tota superior terra.

A Εὐδικίην φιλέεις, στυγέεις δ' ἀθεμίστιον ἔργον
Τοὔνεκά σοι Θεὸς αὐτὸς ἑὴν περίχευεν ἀλοιφὴν,
Χρίσας τερπωλῆς μετόχους παρὰ πάντας ἐλαίῳ.
Σμύρνα τε καὶ στακτὴ, κασίη θ' ἅμα σῶν ἀπὸ πέ-[πλων,
Ἐκ νηῶν ἐλέφαντος· ὃ καί σεο θυμὸν ἰάνθης.
Θυγατέρες σέο, κῦδος ὑπερμενέων βασιλήων.
Πέπλοις χρησυφέεσσι (33) πέλας βασίλεια παρέστη,
Εὖ ἀμπισχομένη πυκινοῖς δαιδάλμασι μορφήν.
Κλῦθι, τέκος λεύσσουσα, φίλον δὲ μοι οὖας ἐρείδοις·
Λαοῦ δ' ἐκλεγάθοιο τεοῦ, μεγάρων τε τοκῆος·
Οὕνεκά σευ βασιλεὺς γεραρῆς ἠράσσατο μορφῆς.
Αὐτὸς γὰρ καὶ πρόσθε σέθεν κρατέεσκεν ἀνάσσων,
Καί μιν γουνάσσαντο Τύρου μειλίγμασι κοῦραι·
B Ἀφνειοὶ χθονὸς ὄμμα λιτῆς τεὸν ἱλάσσονται.
Ἔνδοθεν εὖχος ἅπαν βασιληΐδος ἔπλετο κούρης·
Χρυσείοις ἀμπισχομένη θυσάνοισι κέκασται.
Παρθενικαὶ βασιλῆϊ γέρας μετ' ἄνασσαν ἀγέσθων.
Σοὶ γέρας ἰφθίμης βασιληΐδος εἰσὶν ἑταῖραι.
Χάρματος εὐφροσύνης τ' ἀγαθῆς ἐπὶ βάθρον ἀγέσθων,
Ορνύμεναι μετὰ νηὸν ἐρισθενέος Βασιλῆος.
Ἀνὶ τεῶν πατέρων υἱοὶ σέθεν ἡβώουσι·
Τοὺς δὲ καταστήσειας ὅλης χθονὸς ἡγεμονῆας.
Μνησαίμην μάλα σεῖο διηνεκέεσσι γενέθλαις·
Ἐς γενεῶν γενεὰς σέθεν οὔνομα καλὸν ἀείσω.
Τοὔνεκά σ' ὑμνήσουσι, Μάκαρ πανυπέρτατε, λαοὶ,
Ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ ἀλήκτοισι γενέθλαις,
C Ἔνθεν ὁνοῦ καὶ ἔπειτα καὶ εἰς αἰῶνας ἰόντας.

## ΨΑΛΜΟΣ ΜΕ'.

Κῶμος ὑπὲρ κρυφίων, ὧν εἰς φάος ἤγαγε φόρμιγξ Θεσπεσίη, πέμπτος καὶ τεσσαρακοστὸς ἐτύχθη.

Ἀθάνατος Θεὸς ἕρκος ἐμὸν καὶ κάρτος ἐτύχθη.
Ἀμφιπολευούσῃσι βοηθόος ἡμέας ἄτης·
Τοὔνεκεν οὐ πτήξαιμεν ὀρινομένης μάλα γαίης,
Οὐδὲ μετερχομένων ὀρέων ἐν στήθεσι πόντου.
Ἠχήεις ῥοθίοισιν ἑοῖς ὀρυμαγδὸς ἀέρθη·
Οὔρεα θεσπεσίῳ περὶ κάρτεϊ δινήθησαν.
Εὐφραίνει ποταμοῖο Θεοῦ πτολίεθρον ἐρωή.
Ὕψιστος κλισίην σφετέρην ἄχραντον ἔθηκε·
Οὐδὲ ποθ' οἱ λήξειε Θεὸς περὶ μέσσα θοάσσων.
Ἐξ ἠοῦς ἐπίκουρον ἔχει πανεπίσκοπον ὄμμα.
D Κλῖναν ἀνακτορίαι βριαραὶ, κλονέοντο δὲ φῦλα.
Ἤϋσεν διαπρύσιον, δεδόνητο δὲ γαῖα.
Ἀρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός·
Αὐτὸς Ἰακώβου πρόμαχος Θεὸς ἄμμιν ἐτύχθη.
Δεῦτε, φίλοι, Βασιλῆος ἰδώμεθα θέσκελα ἔργα,
Ὅσσ' ὑπὲρ, εὐφόρβου σημήια τεῦξεν ἀρούρης.
Παύων δηιοτῆτας ὅλης ὑπὲρ ἄντυγα γαίης,
Τόξον συντρίψειε, καὶ ἀσπίδα θοῦριν ἐάξει,
Καὶ θυρεοὺς μαλεροῖο καταφλέξει πυρὸς ὁρμῇ.
Φράζεσθε σχόμενοι, Θεὸς ἄφθιτος οὕνεκ' ἐτύχθη.
Ἔθνεσιν ὕψιστος, καὶ ὅλης καθυπέρτερος αἴης.

(33) Χρησυφέεσσι. Forte, χρησυρέεσσι pro χρυσηρέεσσι. EDIT.

Ἀρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός.
Αὐτὸς Ἰακώβου πρόμαχος Θεὸς ἄμμιν ἐτύχθη.

ΨΑΛΜΟΣ ΜϚ'.

Τοῦτο μεγασθενέων τεκέων ἐτέτυκτο Κοραίου
Μείλιχον ἀμφ' ἕκτῳ καὶ τεσσαρακοστὸν ἄεισμα.
Παίσατέ μοι χείρεσσιν ὁμὸν κρότον, ἔθνεα πάντα·
Τερπνίστη Βασιλῆα Θεὸν κελαδήσατε φωνῇ·
Οὕνεκεν ὕψιστος φοβερός θ' ἅμα πᾶσιν ἐτύχθη,
Γαίης παντοδαποῖς μετὰ τέρμασιν ἐμβασιλεύων.
Λαοὺς ἄμμι δάμασσε, ποσὶν δ' ὑπεθήκατο δήμους.
Δεξάμενος πόρεν ἄμμι φίλον καὶ ἐνηέα κλῆρον,
Μοῖραν Ἰακώβοιο Θεῷ καταθύμιον αἰεί.
Εἰσανόρουσε Θεὸς βοόων ἐπινίκιον ὕμνον,
Εὐκελάδου σάλπιγγος ἀνέδραμε κοίρανος ἠχώ
Ἡμέτερον φόρμιγγι Θεὸν φορμίζετ' ἀοιδαῖς,
Ἡμέτερον Βασιλῆα σοφαῖς ἀναμέλψατε μολπαῖς·
Οὕνεκα κοιρανέει πάσης Θεὸς ἄφθιτος αἴης.
Μέλψατέ μοι πινυτῇ κραδίῃ καὶ ἐχέφρονι μύθῳ.
Ἀθάνατος μέγα κάρτος ὅλων κτεατίσσατο λαῶν.

Αὐτὸς ἐπ' ἀχράντοιο Θεὸς θώκοιο θοάσσει.
Ἡγηταὶ ξυνάγερθεν ὁμῶς Θεῷ Ἀβραάμου·
Ἄντα Θεοῦ θώρηχθεν ὑπερβασίῃ χθονὸς ἀρχοί.

ΨΑΛΜΟΣ ΜΖ'.

Υἱοῖς Κοραίου τερπνὸν ἐγράφη μέλος.
Εἰς δευτέραν δ' ἔμελψαν αὐτοὶ Σαββάτων·
Τὸ δ' ἕβδομον τεσσαρακοστὸν ἦν ἅμα.

Αἰνετὸς Ἀθάνατος, καὶ δὴ μέγας ἔπλετο μοῦνος,
Ἄστυ περὶ σφέτερον καὶ ὄρος παντακήρατον αἰεί.
Πάντοθεν εὐρύνων χάρμ' ἐν χθονὶ πουλυβοτείρῃ.
Οὔρεά τοι Σιῶνος ἀπὸ πλευρῆς βορέαο·
Ἄστυ πολυκλῆεν μεγαλοσθενέος Βασιλῆος.
Ἀθάνατος πύργοισιν ἑοῖς ἀρίδηλος ἐτύχθη,
Εὖτ' ἐπιδευομένης ἐπιτάῤῥοθος ἵξεται αὐτῆς.
Γαίης ἦλθον ἅπαντες ἀγειρόμενοι βασιλῆες·
Ὄμμασι δερκόμενοι, κραδίῃ περιθάμβεον αὐτοί.
Ὀρνύμενοι κλονέοντο, τρόμος δ' ἐπελήλυθε πάντας,
Εἴκελα τικτούσῃ πυκινὰς ὠδῖνας ἕλοιντο·
Ἠὲ βίῃ ὅτε νῆας ἕλοι Θαρσῖδος ἀήτης.
Οὐκ ἄρα βάξις ἔην (μύθοισι γὰρ ἔργον ὀπηδεῖ);
Ἀμφὶ Θεοῦ κλυτὸν ἄστυ, Θεοῦ σθενέων βασιλῆος,
Αὐτὸς οἱ ἀστυφέλικτον ἐπήξατο πυθμένα Ποιμήν.
Σῶν λαῶν ἀνὰ μέσσον, Ἄναξ, ἐλεητὺν ὀπάζοις.

Ἠΰτε δ' ἀμφιβόητον, Ἄναξ, τεὸν οὔνομα μίμνει,
Ὧδ' ἔστω τεὸς αἶνος ὅλης ἐπὶ πείρατα γαίης.
Δεξιτερὴ βέβριθε δικαιοσύνης σέο, Ποιμήν.
Κλεινὸν ὄρος Σιῶνος εὐφροσύνῃσι μελέσθω.
Παῖδες Ἰουδαίας ἐρατῆς πολυγηθέες ἔστων,
Εὐαγέων, Ἄχραντε, τεῶν χάριν εὐνομιάων.
Σπεύσατέ μοι Σιῶνα περισταδὸν ἀμφιβαλέσθαι,
Καὶ οἱ ὑπὲρ πύργων λιγέως ἀγγείλατε μύθους·
Ἀμφὶ δὲ μιν κραδίας καὶ ἑῷ περὶ κάρτεϊ θέσθε·
Ἕρκεα δὲ σφετέρου κράτεος διαμοιρήσασθε,
Ὄφρα δέ τις (34) γενῇσιν ἐπεσσομένης ἀγορεύσῃ.
Οὕνεκεν αὐτὸς ἀεὶ Βασιλεὺς ἅμα καὶ Θεός ἐστιν·
Ἐκ προτέρων γενεῶν ἐπ' ἀτερμάντοισιν ἀνάσσων,
Νωλεμέως ἐν πᾶσιν ἀγήραος ἄμμε νομεύσει.

(34) Ὄφρα δέ τις. Forte, ὄφρα γέ τις. Edit.

A Princeps cœlestium virtutum est nobis adjutor,
Ipse Jacobi propugnator Deus nobis est.

PSALMUS XLVI.

*Istud magnanimorum filiorum erat Core*
*Blandum circa sextum et quadragesimum carmen.*
Plaudite mihi manibus simili plausu, gentes omnes:
Jucundissima Regem Deum resonate voce.
Quoniam altissimus terribilisque simul omnibus est.
Terræ varios super terminos imperans [populos.
Populos nobis subjecit, sub pedibus vero posuit
Eligens præbuit nobis charam et placidam sortem,
Partem Jacobi Deo gratam semper.
Ascendit Deus clamans triumphalem hymnum,
Sonoræ tubæ prosiluit rex echo.
Nostrum cithara Deum celebrate carminibus,
B Nostrum Regem doctis canite cantibus,
Quoniam imperat toti Deus æternus terræ.
Cantate mihi consulto corde et prudenti sermone.
Immortalis magnum robur omnium adeptus est
[ populorum.
Ipse super intactam Deus sedem sedet.
Duces convenerunt simul cum Deo Abraham.:
Coram Deo armati sunt superbia terræ principes.

PSALMUS XLVII.

*Filiis Core jucundum scriptum est carmen.*
*In secundam vero cecinerunt ipsi Sabbatorum:*
*Hoc vero septimum quadragesimum erat simul.*
Laudabilis Immortalis, et certe magnus est solus,
Civitate in sua et in monte sancto semper.
Undique dilatans gaudium in terra multos nutriente
Montes tibi Sionis a latere aquilonis;
C Civitas illustris potentis Regis,
Immortalis turribus suis clarus est,
Cum egentis adjutor veniet ipsius.
Terræ venerunt omnes congregati reges;
Oculis videntes corde admirati sunt ipsi. [omnes.
Commoti turbabantur, tremor vero apprehendit
Similes paturientis crebros dolores capiant,
Sive vi quando naves capiat Tharsis ventus:
Nonne fama erat (verba enim factum comitatur)?
In Dei inclyta civitate, Dei virtutum regis,
Ipse sibi immotum fixit fundum Pastor.
Tuorum populorum in medio, Rex, misericordiam
[præbeas.
Tanquam vero celebre, Rex, tuum nomen manet,
Sic sit tua laus totius in fines terræ.
D Dextera plena est justitiæ tua, Pastor.
Nobilis mons Sionis lætitias curet.
Filii Judææ amabilis multum gaudentes sint,
Pias, Immaculate, tuas propter æquitates.
Properate mihi Sionem in circuitu cingere,
Et ipsi in turribus acute nuntiate sermones:
Circa vero ipsum corda et sua in virtute ponite:
Vallum vero, sui roboris distribuite,
Ut autem quispiam generationibus futurus narret
Quoniam ipse semper Rex simul et Deus est:
A superioribus generationibus ad infinitas imperans
Indesinenter in omnibus æternus nos reget.

## PSALMUS XLVIII.

*Dulce carmen robustis cantabatur filiis Core,*
*Quadragesimum simulque et octavum trahit numerum.*

Audite, infinitæ gentes, quæ mihi animus intus
[occultat.
Terræ incolæ meos versus current,
Viri terrigenæ, mortalisque quæcumque genera
[gentis,
Pauperesque promiscue et quibus curæ est multa
[opulentia.
Nostrum sapientiam sacrum os loquetur,
Nostris cordis meditatio prudentiam dicet.
Varia in laude attentam aurem firmabo :
De stridulis versibus crebra permutabo cantilena.
Cur adhuc rigidum timeo et difficilem diem ?
Calcanei iniquitas me effrenis circumdabit.
Viri locupletes forti confidentes opulentia :
Suis in divitiis superbus erat animus.
Nonne frater mortalium dicitur redemptio ?
Nonne Deum genitorem placabit causa mundi,
Pretium immortalis animæ pœnam solvens ?
Indesinenter laborabit, vita vero ipsi nunquam
[desinet.
Cum sapientes morientes viderit, improbitatem
[calcabit.
Insipiens temere et stultus ad unum peribit :
Mendicis opes vero aliis relinquent palatiorum.
Sepulchra tanquam palatia semper habitabunt,
Assidue tabernaculis suas corrumpent generationes
De terra nomen habuerunt unde gignebantur domiti.
Stultus, neque intellexit mortalis dignationibus
[studens :
Quadrupedibus similis factus est, ingenium vero
[suscepit tale.
Perniciosum hæc via in ipsis rete sit :
Et tunc sane linguis laudabunt suis.
Similes ovibus, orcum unanimes elegerunt :
Quoniam amara mors ipsos fortiter depascet.
Justorum vero mane sub jugum cervicem ponant :
In orco illorum inutile erit auxilium.
Cor meum mortis Deus solvat necessitate :
Ne aliquando mihi divitias hominum timeas animo,
Viri quando bonis oppleverit palatium.
Non enim mortuus omnia in infernum ferat,
Neque ipsi immensa gloria simul descendet domus :
Solum in vivis charum robur laudabile erit,
Et te valde laudabit, cum quid ipsi bonum confeceris.
Antiquam patrum generationem capesset frustra,
Nigrum vitæ mœrorem et obscurum habitans.
Stultus, neque intellexit homo dignitatibus studens :
Quadrupedibus similis factus est, ingenium susce-
[pit tale.

A

## ΨΑΛΜΟΣ ΜΗ΄.

Ἡδὺ μέλος σθεναροῖσιν ἐμέλπετο παισὶ Κοραίου·
Τεσσαρακοστὸν ὁμῶς τε καὶ ὄγδοον ἕλκει ἀριθμόν.

Κέκλυτε, μυρία φῦλα, τά μοι νόος ἔνδοθι κεύθει.

Γαίης ἐνναετῆρες ἐμοῖς μελέεσσι μελᾶσθων,
Ἄνδρες γηγενέες, βροτεῆς θ' ὅσα φῦλα γενέθλης,

Ἀκτέανοί τ' ἀναμὶξ καὶ ὅσοις μέλει ἄσπετος ὄλβος.

Νωΐτερον σοφίην ἱερὸν στόμα μυθολογεύσει,
Ἡμετέρης κραδίης μελέτη πινυτὴν ἀγορεύσει.
Ποικίλον ἀμφ' αἶνον ἀριήκοον οὖας ἐρείσω.
Ἐκ λιγυρῶν μελέων πυκινῆς διαμείψομαι οἴμης.
B Τίπτ' ἔτι ῥιγεδανὸν τρομέω καὶ ἀμήχανον ἦμαρ ;
Πτέρνης ἀμπλακίη με δυσμήνιος ἀμφιπολεύσει.
Ἀνέρες ἀφνειοὶ κρατερῷ περὶ θάρσυνοι ὄλβῳ·
Οἷσιν ἐπὶ κτεάτεσσιν ὑπέρβιος ἔπλετο θυμός.
Οὐχὶ κασίγνητος μερόπων ἀναφαίνετ' ἄποινον ;
Οὐχὶ Θεὸν γενέτην ἱλάσσεται εἵνεκα κόσμου,
Τιμὴν ἀθανάτης ψυχῆς ποινὴν ἀποτίσας ;
Νωλεμέως μόχθησε, βίος δέ οἱ οὔποτε λήξει.

Εὖτε σοφοὺς θνήσκοντας ἴδοι, κακότητα πατήσει.

Ἄφρων ἀφραδέως καὶ νήπιος εἰς ἕν ὀλεῖται (35),
Ἀκλήροις ὄλβον δ' ἑτέροις λείψουσι μελάθρων·
Τύμβους ὥστε μέλαθρα διαμπερὲς οἰκήσουσιν·
Ἠνεκέως καλύβησιν ἑὰς φθίσουσι γενέθλας·
C Ἐκ γαίης ὄνομ' ἔσχον, ὅθεν τίκτοντο δαμέντες.
Νήπιος, οὐδ' ἐνόησε βροτὸς γεράεσσι μεμηλώς

Τετραπόδεσιν ἔϊκτο· φυὴν δ' ἠσπάζετο τοίην.

Οὐλοὸν ἥδε κέλευθος ἐπὶ σφίσι δίκτυον εἴη.
Καὶ τότε δὴ γλώσσῃσιν ἐπαινήσουσιν ἑῇσιν.
Εἰσάμενοι μήλοις ἀΐδην συμφράδμονες εἷλον·
Τοὔνεκα πευκεδανὸς θάνατός σφεας ἶφι νομεύσοι.
Ἰθυνόων δ' ἠῶθεν ὑπὸ ζυγὸν αὐχένα θεῖεν·
Εἰν ἀΐδῃ κείνων ἀχρήιος ἔσσετ' ἀρωγή.
Ἦτορ ἐμὸν θανάτοιο Θεὸς λύσειεν ἀνάγκης·
Μή ποτέ μοι πλοῦτον μερόπων περιδείδιθι θυμῷ,
Ἀνέρος εὖτ' ἀγαθοῖσιν ἐπίσειε μέλαθρον.
Οὐ γὰρ ἀποφθίμενος σύμπαντ' ἀΐδηνδε κομίσσοι,
D Οὐδέ οἱ ἄσπετον εὖχος ὁμῶς καταβήσεται οἴκου·
Μοῦνον ἐπὶ ζωοῖσι φίλον σθένος αἰνετὸν ἔσται,
Καὶ σε μάλ' αἰνήσειεν, ὅταν τί οἱ ἐσθλὸν ἀνύσῃς.
Ἀρχαίην πατέρων γενεὴν μετελεύσεται αὔτως,
Ὀρφναίην βιότοιο δύην καὶ ἀφεγγέα ναίων.
Νήπιος, οὐδ' ἐνόησε βροτὸς γεράεσσι μεμηλώς·
Τετραπόδεσσιν ἔϊκτο, φυὴν δ' ἠσπάζετο τοίην.

## PSALMUS XLIX.

*Davidis nonum et quadragesimum carmen.*

Terram totam vocavit deorum Deus, in unum con-
[gregans,
Solis lucidi ab ortu usque ad occasum.

## ΨΑΛΜΟΣ ΜΘ΄.

Δαυΐδου ἔνατον καὶ τεσσαρακοστὸν ἄεισμα.

Γαῖαν ὅλην καλέεσκε θεῶν Θεὸς, εἰς ἓν ἀγείρας,

Ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δύσμάς.

(35) Εἰς ἕν ὀλεῖται. Forte, εἰς ἕν' ὀλεῖται. Edit.

Ἐκ Σιῶνος ἑῇ περιλάμπεται εἴδεος ὥρῃ.
Ἀθάνατος μερόπεσσι Θεὸς ἀναφανδὰ παρέσται,
Οὐδέ τις ἀγνώσσων Θεὸν ἔσσεται· οὐ γὰρ ἐάσσει.
Τοῖο ποδῶν προπάροιθε διίξεται αἰθόμενον πῦρ·
Ἀμφὶ δέ μιν βέβρυχε μέγα σπέρχουσα καταῖξ.
Οὐρανὸν ἀστερόεντα πέλας μύθοισι καλέσσει,
Καὶ χθόνα πουλυβότειραν, ὅπως λαοῖσι δικάζοι.

Ἀθανάτῳ θεράποντας ἑοὺς ξυναγείρατε πάντας,
Ὅσσοι συνθεσίην θυσίης ἕο πιστώσαντο·
Ὄφρα οἱ ἀγγελέωσι δικαιοσύνην ἐρατεινήν.
Οὕνεκα τιμήεις Βασιλεὺς μετὰ πᾶσι δικάζει.
Κέκλυθι, φῦλον ἐμὸν, λέξω δέ τοι ᾗ θέμις ἐστί.
Κλῦθί μευ, Ἰσραῆλε· σὲ γὰρ περὶ ἄλλα διδάξω·
Αὐτός τοι Θεός εἰμι, Θεὸς δέ σοι αὐτὸς ἐτύχθην.
Οὐ νή σε μαψιδίῃσι θυηπολίῃσιν ἐλέγξω·
Σεῖο δὲ καρφομένην θυσίην ἐπιδέρκομαι αἰεί.
Οὐκ ἀλέγω μόσχων, οὓς ἐν μεγάροις ἀτιτάλλεις·
Ἐκ δὲ τεῆς ἀγέλης ἀρνήσομαι ἴφια μῆλα.
Πάντα γὰρ αὐτὸς ἔτευξα, τά τε τρέφει οὔρεσιν ὕλη,
Ἠδ' ὅσα που μεμέληται ἀρεσσινόμοισι βοτῆρσιν.
Οὐδέ μέ που πετεηνὰ δι' αἰθέρος ἄφθονα λήθει·
Ἀλλὰ καὶ ἀνθοφόρου με περιστέφει ὄλβος ἀρούρης.
Σεῖο δὲ πεινάων δευήσομαι οὔποτ' ἀρωγῆς·
Πάντα γὰρ ἡμετέρη τεχνήσατο θεσπεσίη χείρ·
Οὐ δέχομαι ταύρους, τράγεον δ' οὐ πίομαι αἷμα·

Ῥέζε Θεῷ θύος ἡδύ· θύος γάρ οἱ αἶνος ἐτύχθη·

Ὑψίστῳ δὲ τεῶν ἀπόδος χάριν εὐχωλάων.
Εἰ δ' ἐπιδευόμενος καλέεις μ' ἐπίκουρον ἀνάγκης,
Εἰμί τοι ἐσθλὸς ἀρωγὸς, ἀτὰρ σύ μευ εὖχος ἀείσεις.
Δὴ τότ' ἀλιτραίνοντι Θεὸς προσεφώνεε τοῖα·
Τίπτε μευ εὐδικίας ἐρικυδέας ἐξαγορεύεις,
Καί μευ συνθεσίην φορέεις περὶ χείλεσι σοῖσιν;
Αἰεί τοι στυγέεις μελεδήματα καλὰ νοῆσαι,
Καὶ χάριν ἡμετέρων ἠρνήσαο πάντοτε μύθων.
Καὶ πόδα ληιστῆρι κακόφρονι σύνδρομον ἔσχες,
Ξυνὸς μαχλοσύνης μοιχῶν ἀνεφαίνεο μοίρῃ.
Καὶ τεὸν ὡς βέβριθε κακορραφίῃ στόμα λάβρον,
Γλῶσσα δὲ δυσφροσύνῃσι περιπλέκεται δολερῇσι.
Ἀμφὶ κασιγνήτοιο καθεζόμενος κάκ' ἔβαζες,
Καὶ σέθεν υἱεῖ μητρὸς ἀμήχανον ἔπλεκες ἄτην.
Ταῦτα μὲν αὐτὸς ἔρεξας, ἐγὼ δέ τοι ἥσυχος ἦα.

Ὠίσθης ἀθέμισθ', ὅτι τοι φρένας ἔσσομ' ὁμοῖος·
Ἀμπλακίας στήσω σευ ἐναντίον αἰὲν ἐλέγχων.
Σύνθεσθ' Ἀθανάτοιο λελασμένοι ὅσσ' ἀγορεύω,
Μή ποτ' ἀφαρπάξειεν ἀμύντορος οὐ παρεόντος.
Θῦμά μοι ὄλβιστον πέλεται καταθύμιος ὕμνος,
Ἠδ' ὁδὸς Ἀθανάτοιο βίην ζωαρκέα φαίνει.

## ΨΑΛΜΟΣ Ν'.

Ἔρωτι Δαυὶδ ἀπρεπεῖ εἴξας ποτὲ,
Κλοπῆς ἑάλω δεμνίων ἀλλοτρίων·
Εἶτ' αὖ ἀνεῖλε τὸν γυναικὸς εὐνέτην·
Νάθαν δὲ πειθήνιος ὀφθεὶς τῷ Θεῷ,
Ἤει τιτρώσκων τοῖς ὀϊστοῖς τῶν λόγων,
Καὶ τῶν ἐλέγχων φαρμάκοις καταστύφων·
Ὁ δ' εὐγενείας οὐκ ἀναξίως τρόπων,
Αἴσθησιν ἥττης ἀκλεοῦς λαβὼν, τάχος

A Ex Sione sua illustratur decoris forma:
Immortalis mortalibus Deus manifeste aderit,
Neque aliquis ignorans Deum erit, non enim sinet.
Ejus pedes ante pertransibit ardens ignis:
Circa vero eum fremuit multum ingruens turbo.
Cœlum stellatum prope verbis vocabit,
Et terram multos alentem, ut populorum disceptet
[controversias.
Immortali famulos suos congregate omnes,
Qui fœdus sacrificii sui confirmarunt:
Ut ipsi annuntient justitiam amabilem.
Quoniam honoratus Rex inter omnes judicat.
Audi, gens mea, et loquar tibi quatenus fas est.
Audi me, Israel: te enim circa alta docebo:
Ipse tibi Deus sum, Deus vero tibi ipse sum.
B Non te vanis sacrificiis arguam:
Tuum vero siccatum sacrificium video semper.
Non curo vitulos, quos in domibus alis:
De autem tuo grege recusabo pinguia pecora.
Omnia enim ipse feci: ea quæ nutrit in montibus silva,
Et quæ ferme curæ sunt montanis pastoribus.
Neque me ferme volatilia per aerem copiosa latent:
Sed etiam floribus ornatæ me coronat felicitas terræ.
Tuo autem esuriens egebo nunquam auxilio:
Omnia enim nostra fabricavit divina manus.
Non admitto tauros, hircinum vero non potabo
[sanguinem.
Immola Deo sacrificium dulce: sacrificium enim
[ipsi laus est.
Altissimo autem tuarum redde gratiam precum.
C Si vero indigus vocas me adjutorem necessitatis,
Sum tibi bonus defensor, sed tu meam gloriam canes.
Sane tunc erranti Deus locutus est talia:
Quare meas justitias gloriosas effutis,
Et meum testamentum fers in labiis tuis?
Semper quidem odisti cogitationes honestas cogitare
Et gratiam nostrorum recusasti semper sermonum.
Et pedem furi insano concurrentem habebas,
Socius impudicitiæ adulterorum videbaris portione.
Et tuum ut abundavit improbitate os incontinens.
Lingua vero molestiis involvitur dolosis.
Cum fratre sedens mala effutiebas,
Et tuæ filio matris difficilem concinnabas noxam.
Hæc quidem ipse fecisti: ego vero quidem tacitus
[eram.
Existimasti iniqua, quod tibi animis ero similis:
D Peccata statuam te coram semper arguens:
Conspirate Immortalis immemores quæ loquor,
Ne quando rapiat vindice non præsente.
Sacrificium mihi beatissimum est gratus hymnus,
Illic vero via Immortalis robur vitale ostendit.

## PSALMUS L.

« Amori David fœdo cedens aliquando »,
« Furti convictus est cubilium alienorum »:
« Deinde rursum interfecit mulieris maritum ».
« Nathan vero obediens visus Deo »
« Ibat vulnerans sagittis verborum »,
« Et redargutionum remediis acriter mordens »:
« Ille vero generositate non indigne morum »,
« Sensum culpæ ignobilis cupiens, cito »

« Mansuetum placat Dominum »,
« Et misericordiam ipsum commovet ad magnam».
« Carmen cordis contritione qui cecinit hoc »,
« Est quinquagesimum hic psalmus carmen »,
« Adulterii Nathanus culpam ostendens »,
« Gaudii gemitibus et lacrymis exstinxit voluptatem ».
« Divino regi : Dei vero misericordem animum »
« Lugendo invocans, mortales proposuit vias »,

« Ut posteris prudens consilium augeat ».
« Hujus vero quinquagesimus salutaris est hymnus.

Indigo mihi, Rex, valde propitius sis :
Et meam iniquitatem perdas misericordi consilio.
Peccatum ablue meum amplius aqua lavans :
Nostro procul a peccato me mundes.
Quoniam iniquitatem meam ego animis cognovi,
Et meum peccatum versatur ob oculos.
Peccavi in te, Beate, et te coram dolorem feci.
Ut sanctus verbis tuis apud omnes appareas,
In judicio autem solus præstantior eris cæteris.
Etenim iniquitati me pater seminavit confisus :
Et me sub peccatis concepit veneranda mater,
Et sapientiæ occulte me tuæ docuisti vias :
Hyssopo purum me aspergens perficies,
Et multo candidiorem nive facies me lavans.
Nuntius lætitiæ et gaudii nobis appareas :
Ossa oppressorum in te exsultabunt omnia.
Peccato meo procul avertas vultum :
Et meas varias stultitias perdas.
Purum cor mihi, Rex, in pectoribus reddas,
Nostris dirige firmum visceribus spiritum.
Ne me tua procul projicias a facie,
Neque sanctum tuum spiritum a me prorsus retrahas.

Da mihi lætitiam luminis revocabilem, Rex :
Spiritu vero principali robur confirma meum.
Probe significem tuas iniquis vias :
Ad te semper rursum convertuntur errones.
Lumen meæ vitæ, a cæde me serves :
Justitiam mea lingua tuam exhilarabit.
Labia mea, Beate, aperi, justitiam vero tuam proclamabo.

Si sacrificium jussisti, ego mittebam paratum :
Sed non siccis delectaberis sacrificiis.
Immortali sacrificium spiritus humilis curæ est :
Cor Rex humiliatum et lene non despiciet.
Beata mihi Sioni, Beate, jucunda des.
Probe vero Jerusalem inclyti muri ædificentur.
Sane tunc justitiæ sacrificium animis accipias :
Sacrificiumque siccum et rursum vergentem vaporem.

Sane tunc sacrificabunt tuo vitulos super altari.

PSALMUS LI.

« Doegus improbus at postea Sauli »
« Dixit quod David ad Immortalis venit templum »,
« Benevolo sed occurrit Abimelecho magnanimo ».
« Hujus vero quinquagesimum est et primum carmen ».

Quare mihi robustus propriæ improbitati confidis,
Iniquitatem animis tota die perficiens ?
Circum vero te lingua iniquam fudit contumeliam :

A Τὸν μειλίχιον ἐξιλάσκει Δεσπότην,
Καὶ οἶκτον αὐτὸν συγκινεῖ πρὸς τὸν μέγαν.
Ἆσμα κραδίης συντριβῇ μέλψας τόδε,
Πέφυκεν πεντηκοστὸν ὁ ψαλμὸς μέλος.
Μαχλοσύνης Νάθανος ἀτασθαλίην ἀναφαίνων,
Εὐφροσύνης στοναχαῖς καὶ δάκρυσιν ἔσβεσε τέρψιν
Ἀντιθέῳ βασιλῆϊ· Θεοῦ δ' ἐλεήμονα θυμὸν
Μυρόμενος καλέων, βροτέας προὔθηκε κελεύθους,
Ὄφρα κεν ὀψιγόνοισι σαόφρονα μῆτιν ὀφέλλοι.
Τοῖο δὲ πεντηκοστὸς ἀλεξίκακος πέλει ὕμνος.
Δευομένῳ μοι, Ἄναξ, περιώσιον ἵλαος εἴης·
Καί μευ δυσνομίην ὀλέσοις οἰκτίρμονι βουλῇ,
Ἀμπλακίην ἀπόνιψον ἐμὴν πλέον ὕδατι νίζων.
Ἡμετέρης ἀπάνευθεν ἀτασθαλίης με καθαίροις.
B Οὕνεκα δυσνομίην μευ ἐγὼ πραπίδεσσιν ἀνέγνων,
Καί μευ ἀτασθαλίη πέλεται κατεναντίον ὄσσων.
Ἤλιτον εἰς σὲ, Μάκαρ, καί σευ πέλας ἄλγος ἔτευξα.
Ὄφρ' ὅσιος μύθοισι τεοῖς μετὰ πᾶσι φανείης,
Ἐν δὲ δίκῃ μοῦνος προφερέστερος ἔσσεαι ἄλλων.
Καὶ γὰρ δυσνομίῃ με πατὴρ ἔσπειρε πιθήσας,
Καί μ' ὑπ' ἀτασθαλίῃσιν ἐκύσατο πότνια μήτηρ·
Καὶ σοφίης κρυφίης με τεῆς ἐδίδαξας ἀταρπούς·
Ὑσσώπῳ καθαρόν με περιῤῥαίνων τολυπεύσεις,
Καὶ πολὺ λευκότερον χιόνος τελέσεις με λοέσσας.
Ἄγγελος εὐφροσύνης καὶ χάρματος ἄμμι φανείης.
Ὀστέα τειρομένων ἐπὶ σοὶ κεχαρήσεθ' ἅπαντα.
Ἀμπλακίης μευ ἄνευθεν ἀποστρέψειας ὀπωπήν·
Καί μευ παντοδαπὰς ἀεσιφροσύνας ἀμαθύνοις.
Ἄχραντον κραδίην μοι, Ἄναξ, ἐν στήθεσι τεύχοις·
C Νωιτέροις ἴθυνον ἐυσταθὲς ἔγκασι πνεῦμα·
Μή με τεῆς ἀπάνευθεν ἀποῤῥίψειας ὀπωπῆς,
Μηδ' ἅγιον σέο πνεῦμα ἐμεῦ ἀπὸ πάμπαν ἐρύκοις.

Δός μοι τερπωλὴν φάεος παλινάγρετον, Ἐσσὴν,
Πνεύματι δ' ἀρχεύοντι βίην στήριξον ἐμεῖο.
Εὖ διασημήναιμι τεὰς ἀνόμοισι κελεύθους·
Πρὸς δέ σε πάντοθεν αὖθις ἐπιστρέψουσιν ἀλεῖται.
Φέγγος ἐμῆς βιοτῆς, ἀνδροκτασίης με σαώσοις
Εὐδικίην μευ γλῶσσα τεὴν περιγηθήσειε.
Χείλεά μευ, Μάκαρ, οἶγε, δίκην δ' ἀνὰ σεῖο βοήσω·

Εἰ θυσίην ἐνετείλω, ἐγὼ προΐαλλον ἑτοίμην·
Ἀλλ' οὐ καρφομένοισιν ἰανθήσῃ θυέεσσιν.
Ἀθανάτῳ θυσίη πνεῦμα χθαμαλὸν μεμέληται·
Ἦτορ Ἄναξ χθαμαλὸν καὶ μείλιχον οὐκ ὀνόσαιτο.
D Ὄλβιά μοι Σιῶνι, Μάκαρ, καταθύμια δοίης·
Εὖ δ' Ἱερουσαλῆς κλυτὰ τείχεα τεκταίνοιτο.
Δὴ ῥα τότ' εὐδικίης θυσίην πραπίδεσσιν ἕλοιο,
Θῦμά τε καρφόμενον καὶ ἄνω σπέρχουσαν ἀϋτμήν.

Δὴ τότ' ἐπιῤῥέξουσι τεῷ μόσχους περὶ βωμῷ.

ΨΑΛΜΟΣ ΝΑ'.

Δώηγος κακόχαρτος ἀτὰρ μετέπειτα Σαούλῳ
Πέφραδεν, ὡς Δαυΐδος ἐς Ἀθανάτου μόλε νηὸν,
Εὐμενέος δ' ἤντησεν Ἀβιμελέχου μεγαθύμου.
Τοῖο δὲ πεντηκοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.
Τίπτε μοι ἀλκήεις σφετέρῃ κακότητι πέποιθας,
Δυσνομίην πραπίδεσσι πανημαδὸν ἐκτολυπεύων ;
Ἀμφὶ δέ τοι γλῶσσα ἀθεμίστιον ἔβλυσεν ὕβριν.

Ὧδε δόλον ποίησας ἅτε ξυρὸν ὀξὺ τεθηγός·

Ἀν' εὐεργεσίης φιλέων κακότητα βαρεῖαν,
Ἀντὶ δικαιοσύνης ἀθεμίστια πάντ' ἀγορεύων,
Γλώσσης μῦθον ἅπαντα δολόφρονος ὀμφαγαπάζεις·
Ἔνθεν Ἄναξ καθελεῖ σε διαμπερὲς εὖχος ἀπούρας·
Ὡς δ' ὄρπηκα ταμών σε, τεῶν ἀπονάσσεται οἴκων·

Τεῖο δ' ἀποσπάσειεν ἀπὸ χθονὸς ἀκλέα ῥίζαν.
Εὐδικίης λεύσσοντες ὑποπτήξουσ' ὑποφῆται.
Τοῖα δ' ὁμῶς ἐρέουσιν ἐπ' αὐτοῦ μειδιόωντες·
Ἀθάνατον Θεὸν οὗτος ἔχειν ἠρνήσατ' ἀρωγόν·

Θυμῷ δὲ κτεάτεσσι περὶ σφετέροισι πεποίθει,
Αἰεὶ μαψιδίοισι βίην κεκορυθμένος ἔργοις.
Αὐτὰρ ἐγὼ περὶ θεῖον ἕδος βρύω ὥς τις ἐλαίη,
Θεσπεσίην ἐλεητὺν ἐμοῖς ποτιδέγμενος ὄσσοις,
Καὶ νῦν καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις,
Ὧν χάριν ἐξετέλεσσας, Ἄναξ, τεὸν αἶνον ἀείσω,
Πάντοτε σοῖς ὁσίοις ὄνομα γλυκὺ σεῖο δοκεύων.

## ΨΑΛΜΟΣ ΝΒ'.

Δαΐδου πινυτοῦ ὑπὲρ ἀντιθέου Μαελήτου·
Τοῖο δὲ πεντηκοστὸς ἔθυ καὶ δεύτερος ὕμνος.

Οὐκ εἶναι Θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων·
Αἴσχεα τεκταίνοντες, ἑοῖς ἐξέφθιθεν ἔργοις.
Ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
Ἄφθιτος οὐρανόθεν βρότεον σκοπιάζετο φῦλον
Ὀψόμενος, τίς ἄνακτα Θεὸν διζήμενος εἴη.
Πάντες ἀποκλίναντες ὁμοῦ κλονέοντο κακοῖσιν.
Ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
Οἱ δ' ἀγαθῶν ἀγνῶτες, ἀεὶ συμφράδμονες ἄτης,
Λαὸν ἐμὸν κατέδοντες ὅπως θρεψήνορα σῖτον.

Ἀφραδέες ἐλάθοντο Θεὸν βασιλῆα λιτέσθαι·
Δειμαίνεσκον ἄδην, ὅτε δείματος οὐ χρέος ἦεν.
Ὀστέα πάντα κέδασθαι, ὅσοις μέλει ἄνδρας ἰαίνειν.

Καὶ σφιφιν Ἄφθιτός αὐτὸς ὀνοσσάμενος πόρεν αἶ-[σχος.
Τίς πόροι ἐκ Σιῶνος ἐπίῤῥοθον Ἰσραήλου;
Λαοῦ ὅταν στρέψειε Θεὸς κατὰ δούλιον ἦμαρ,
Τῆμος ἀγαλλέσθω περιώσιος Ἰσραῆλος.

## ΨΑΛΜΟΣ ΝΓ'.

Τήνδε Θεῷ κελάδησεν ἄναξ Δαυΐδος ἀοιδήν,
Ζηφαίων δ' ὅτε φῦλον ἀτάσθαλον ἦγε Σαούλῳ
Πὰρ θέμιν ἀγγελίην ἀποφώλιον, οὐδ' ἱκετάων
Φείσατο, Δαυΐδον δὲ μετὰ σφίσι φάντο κεκρύφθαι.
Τοῦδε μέλος τρίτατον καὶ πεντηκοστὸν ἐτύχθη.

Οὔνομα σὸν, Βασιλεῦ, με κακῶν ἀπάνευθε σαώσοι,
Καί μ' ἀναμετρήσας περὶ σὸν σθένος ὧδε δικάζοις.
Εὐχωλῆς ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν·
Μύθοις ἡμετέροις ἀριήκοον οὖας ἐρείδοις·
Οὕνεκά μοι ξεῖνον δηίων θωρήξατο φῦλον,
Καί μευ ἀνιχνεύεσκον ἑλεῖν μενεδήϊοι ἦτορ,
Οὐδὲ νόῳ βασιλῆος ἐπεμνήσαντο Θεοῖο.
Ἤτοι ἐμοὶ καλέοντι Θεὸς ἐπιτάῤῥοθος ἔσται,
Καί μευ Ἄναξ βιότοιο διηνεκέως προμαχίζοι.
Κήδεα δυσμενέεσσιν ἀποστρέψειας ἐμοῖσι·

A Sic dolum fecisti tanquam rasorium mucrone acu-[tum.
Pro benignitate diligens malitiam gravem,
Pro justitia, iniqua omnia effutiens,
Linguæ verbum omne dolosæ amplecteris:
Inde Rex destruet te semper gloria privans:
Tanquam vero ramum concidens te tuis emigrabit [ædibus:
Tuam vero evellat de terra ingloriam radicem.
Justitiæ videntes timebunt vates.
Talia vero simul dicent super eum ridentes:
Immortalem Deum iste habere recusavit adjuto-[rem.
Animo autem possessionibus in suis speravit,
Semper vanis robur armatus operibus.
B Ast ego in divina sede floreo velut quædam oliva,
Divinam misericordiam meis expectans oculis,
Et tunc et postea perpetuis generationibus,
Quorum gratia fecisti, Rex, tuam laudem canam.
Semper tuis sanctis nomen dulce tuum observans.

## PSALMUS LII.

*Davidis prudentis pro divino Mahelcto:*
*Hujus vero quinquagesimus est et secundus hu-[mnue,]*

Non esse Deum dixit suis in pectoribus insipiens.
Turpia molientes, suis corrupti sunt operibus.
Operarius non est usque ad unum æquitatum.
Æternus de cœlo mortale prospexit genus,
Visurus, quis regem Deum quærens sit.
Omnes declinantes simul turbantur malis.
C Operarius non est usque ad unum æquitatum.
Qui vero bonis ignoti sunt, semper concordes noxæ,
Populum meum devorantes ut robur nutriens tri-[ticum.
Stulti obliti sunt Deum regem invocare,
Trepidaverunt satis, quando pavore non opus erat.
Ossa omnia dissipata sunt, quibus curæ est viros [delectare,
Et ipsis æternus ipse redarguens præbuit dedecus.

Quis det ex Sione adjutorem Israeli?
Plebis quando converterit Deus servilem diem,
Tunc exsultet magnus Israel.

## PLALMUS LIII.

*Hoc Deo cecinit rex David Carmen,*
*Zephæorum vero quando genus impium attulit Sauli*
D *Contra fas nuntium vanum, neque servis*
*Pepercit, Davidem vero inter ipsos dicebant occultasse.*
*Hujus carmen tertium et quinquagesimum est.*

Nomen tuum, Rex, me malorum procul servet.
Et me dimetiens in tuo robore sic judices
Orationem exaudi meam, supreme Pastor;
Verbis nostris obedientem aurem firmes:
Quoniam alienum hostium armatum fuit genus,
Et meum quæsierunt auferre fortes cor,
Neque mente regis recordati sunt Dei
Profecto mihi invocanti Deus adjutor erit,
Et meam Rex vitam perpetuo propugnet.
Dolores inimicis avertas meis:

Tua vero veritate, Rex, ipsos excæces.
Cæterum ego tibi sacrificium animo cupienti per-
[ feram :
Nomen tuum canam, Rex : bonum enim est
Quoniam ex omni meum eripuisti animum neces-
[ sitate :
Inimicorum vero ostendisti meis oculis perniciem.

PSALMUS LIV.

*Davidis prudentis, Deo grati, dignus hymnus,*
*Quinquagesimus existens bonis cum quatuor aliis.*

Orationem exaudi meam, supreme Pastor,
Neque meam precem mitem prorsus prætereas.
Cerne, nostram vero auribus accipe vocem.
Iratus crebris clamoribus animo turbatus sum,
Inimici vocem audiens et laborem peccatoris.
Quoniam iniquitates mihi inclinabant molestas,
Acerbe vero furentes in animis iram posuerunt,
In me nostrum conturbatione saucium cor :
Rigidæ mortis vim horrebam ingruentem.
Pavor et tremor super me venit, contexit vero in-
[gens caligo.
Dixi vero : Quis mihi pennas præbeat sicut columbæ,
Ut corpus a labore volans refocillem ?
Longe fugam posui, in autem faciebam stationem
[ eremo,
Infirmitatis adjutorem exspectans sævæque pro-
[ cellæ.
Linguas eorum tu dividens vibra in pontum :
Iniquitatem intellexi, jactationemque in urbe :
Turres die nocteque ejus circumdent.
In medio iniquitatem fert et laborem afflictionis.
Neque labor dolosus suis defecit a viis.
Si me hostis torsisset probris, sane forte susti-
[nuissem,
Etiam osoris verborum declinassem impetum :
Sed, dux et note semper unanimis,
Non ambo convivium apud de gustabamus dulce ?
Nonne domum Dei amice consentientes ascendimus?
Utinam perniciosis veniat mors sibi digna factis,
In autem orci barathrum adhuc viventes descendant
Qui utique mediis ferunt nequitias in tuguriis.
Sed ego clamavi, Deus vero meam audivit vocem,
Ab aurora narraboque ad vesperam et medium diem
Vocem nostram exaudiet annuntiantis.
In pace cor liberabit a cominus subeuntibus,
Quoniam mihi multis fidentes repugnabant.
Illos exaudiens genior mundi tabefaciat.
Non enim pretium habent, et non curant Deum.
Extendit mutua manum vergentem ad opera.
Hi vero ipsi seriem veram posuerunt profanam,
Et sibi diviserunt inauspicatam iram vultus.
Prope immortalis vidit consilium Regis :
Horum vero sermones fuerunt meliores quam oleum
Sed perniciosis jaculis inter se erant similes.
Immortali Regi tuas committe curas,
Et te semper curet perpetuoque nutriat :
Nunquam honorando fluctuationem faciat justo.
Sed ipsos deducas, Rex, in puteum interitus,
Homicidæ dolosique vitæ in medio pereant
At ego Regis in spebus vivam.

A Σεῖο δ' ἀληθείῃ, Βασιλεῦ, σφέας ἐξαλαώσοις.
Αὐτὰρ ἐγώ σοι θῦμα νόῳ ποθέοντι κομίσσω·
Οὔνομα σὸν μέλψω, Βασιλεῦ· ἀγαθὸν γὰρ ἐτύχθη·
Οὕνεκα παντοίης μευ ἐρύσαο θυμὸν ἀνάγκης·
Δυσμενέων δ' ἀνέφηνας ἐμοῖς ὄσσοισιν ὄλεθρον.

ΨΑΛΜΟΣ ΝΔ'.

Δαυίδου πινυτοῦ θεοτερπέος ἄξιος ὕμνος,
Πεντηκοστὸς ἐὼν ἀγαθοῖς ἐπὶ τέτρασιν ἄλλοις.

Εὐχωλῆς ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμὴν,
Μηδὲ μευ ἱκεσίην ἀγανόφρονα πάγχυ παρέλθοις.
Δέρκε· νωιτέρην δὲ μετ' οὔασι δέχνυσο φωνήν.
Χωόμενος πυκινοῖς κελαδήμασι θυμὸν ὀρίνθην,
Δυσμενέος φθογγὴν ἀΐων, καὶ μόχθον ἀλιτροῦ.
B Οὕνεκεν ἀμπλακίας μοι ἐπικλίνεσκον ἀνιγράς,
Πικρὰ δὲ λυσσώοντες ἐπὶ φρεσὶ μῆνιν ἔθεντο,
Ἀμφ' ἐμοὶ ἡμέτερον ταραχῇ βεβολημένον ἦτορ·
Ῥιγηλοῦ θανάτοιο βίην τρομέεσκον ἰοῦσαν.
Δεῖμα, τρόμος μετ' ἔμ' ἦλθε, κάλυψε δὲ νήχυτος ὄρ-
[ φνη.
Εἶπα δέ· Τίς κεν ἐμοὶ πτέρυγας πόροι οἷα πελείης,
Ὄφρα δέμας καμάτοιο ποτώμενος ἀμπαύσαιμι ;
Τῆλε φυγὴν ἐθέμην, ἐν δ' ἤνυον αὖλιν ἐρήμῳ,
Ἀδρανίης ἀλκτῆρα μένων ταναῆς τε θυέλλης
Γλώσσας σφωιτέρας σὺ μερισσάμενοις βάλε πόντῳ·
Ἀμπλακίην ἐνόησα ἐπεσβολίην τ' ἀνὰ ἄστυ.
Πύργους ἠματίῃ νυχίῃ θ' ἕο κυκλώσειεν
C Μεσσόθι δυσνομίην φορέει καὶ μόχθον ἀνίης,
Μηδὲ πόνος δολόεις σφετέρων λείποιτο κελεύθων.
Εἴ μ' ἐχθρὸς στυφέλιξεν ὀνείδεσιν, ἦ τάχ' ἀνέτλην,
Καί κεν ἀπεχθομένοιο λόγων ἀλέεινον ἐρωήν·
Ἀλλὰ, καθηγητὴρ καὶ γνώριμε πάντοθ' ὁμόφρων,
Οὐκ ἄμφω θαλίης παρὰ σοὶ πασάμεσθα μελιχρῆς,
Ἦ ῥ' οὐ δῶμα Θεοῖο φίλα φρονέοντες ἔβημεν ;
Εἴθ' ὀλοῶν ἔλθοι θάνατός σφισιν ἄξιος ἔργων,
Εἰς δ' ἀΐδαο βέρεθρον ἔτι ζώοντες ἵκοιντο·
Οἵ ῥα μέσῃς φορέουσιν ἀτασθαλίας καλύβῃσιν.
Αὐτὰρ ἐγὼν ἐβόησα, Θεὸς δὲ μευ ἔκλυεν αὐδῆς.
Ἐξ ἠοῦς ἐρέω τε καθ' ἕσπερα καὶ μέσον ἦμαρ·
Γήρυος ἡμετέρης ἐπακούσεται ἀγγέλλοντος·
Εἰρήνῃ κραδίην ἀπολύσεται ἄσσον ἰόντων,
Οὕνεκά μοι πολέεσσι πεποιθότες ἀντεφέροντο.
D Κείνους εἰσαΐων γενετὴρ κόσμοιο μαραίνοι.
Οὐ γὰρ λύτρον ἔχουσι, καὶ οὐκ ἀλέγουσι Θεοῖο.
Τεῖνεν ἀμοιβαίοις παλάμην σπέρχουσαν ἐπ' ἔργοις.
Οἱ δέ οἱ ἁρμονίην νημερτέα θέντο βέβηλον,
Καὶ οἱ ἐμοιρήσαντο δυσαντέα μῆνιν ὀπωπῆς.
Ἐγγύθεν ἀθανάτου σκοπιάζετο μῆτις Ἄνακτος·
Τῶν δ' ἐγένοντο λόγοι ἀπαλώτεροι ἤπερ ἔλαιον·
Ἀλλ' ὀλοαῖς βολίδεσσι μετὰ σφίσιν ἔσκον ὁμοῖοι.
Ἀθανάτῳ Βασιλῆι σεὰς ἐπίπεμπε μερίμνας,
Καί σευ ἀεὶ κήδοιτο, διηνεκέως τ' ἀτιτάλλοι·
Οὔποτε τιμήεντι σάλον τεύξειε δικαίῳ.
Ἀλλά σφεας κατάγοις, Βασιλεῦ, μετὰ βόθρον ὀλέθρου.
Ἀνδροφόνοι δολεροί τε βίου κατὰ μέσσον ὄλοιντο·
Αὐτὰρ ἐγὼ Βασιλῆος ἐπ' ἐλπωρῇσι βιῴην.

## ΨΑΛΜΟΣ ΝΕ'.

Οὐδὲ φυγὼν Δαυΐδος ἑῶν ἐπελήσατο λαῶν,
Ἀλλὰ Θεὸν λιτάνευεν ὅπως περιφείσεται ἀνδρῶν,
Οἳ νόον ἐντὸς ἔθεντο θεουδείης ἐρατεινῆς.
Κεῖνος μὲν λίγα μέλπεν ἐπ' ἀλλοδαπῇσιν ἀρού- [ραις.
Γετθαῖοι δέ μιν ἄνδρες ὑπερβασίῃσιν ἑλόντες,
Ἦγον ἑῷ βασιλῆϊ· Θεὸς δ' ἐῤῥύσατο μόχθων.
Τοῦτο δὲ πεντηκοστὸν ἔφυ καὶ πέμπτον ἄεισμα.
Ἵλαθί μοι· μάλα γάρ με καταστείβει ποσὶν ἀνήρ.
Μόχθοισίν μ' ἐβάρυνε πανημέριον πολεμίζων.
Ἠμάτιος πέζῃσιν ἀπεχθομένων πεπάτημαι·
Ὑψόθεν ἐξ ἠοῦς πολέες τεύχουσι κυδοιμούς.
Οὔτιν' ὑποδδείσαιμι, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.
Εὐεπίῃ Βασιλῆα πανημαδὸν ὑμνοπολεύσω.
Τί τρομέω βροτὸν ἄνδρα; Θεός νύ μοι ἐλπὶς ἐτύχθη.
Νωιτέρους στυγέεσκον ἐνὶ φρεσὶ πάντοτε μύθους·
Αἰεὶ ἀμφ' ἐμέθεν κακὰ μήδεα μητιάασκον.
Ἐγγύθι ναιετάοντες ἑὰς κρύψουσι μενοινάς,
Πτέρνης ἡμετέρης φυλακὴν ποιούμενοι αἰεί.
Ὡς δ' αὐτοὶ λοχόωντες ἐμὸν μένον ἦτορ ὀλέσσαι·

Ὧδε κότῳ καθέλοις κρυερῷ κακοεργέα φῦλα·
Χωόμενος κραδίῃ κατάγοις ὑψαύχενα δῆμον.
Ἡμετέρην σοι, Ἄναξ, γλυκερὴν ἤγγειλα βιώνην,
Καί μευ θήκαο δάκρυ τεῶν κατ' ἐναντίον ὄσσων.

Ἐχθροὶ ὑποσχεσίῃσι τεαῖς στρεφθεῖεν ὀπίσσω,
Εὖτε τεὴν, Βασιλεῦ, ἐπαρηγόνα χεῖρα καλέσσω,
Ἔγνων, ὅττι Θεὸς πανεπίσκοπος ἔπλευ ἐμεῖο.
Μέλψω θαρσαλέως θεοτερπέα κῶμον Ἄνακτι,
Παμβασιλῆϊ ἔπος καταθύμιον ὑμνοπολεύσω.
Οὐ τρομέω βροτὸν ἄνδρα· Θεός νύ μοι ἐλπὶς ἐτύχθη.
Εἰσί μοι εὐχωλαὶ, ἅς τοι, Μάκαρ, αἶνον ἀείσω·
Οὕνεκά μευ λύσας θανάτου βαρυώδυνον ἦτορ.
Ὀφθαλμοὺς δὲ γόοιο, πόδας ἐξεῖλε' ὀλίσθου.
Ζωόντων Βασιλῆϊ Θεῷ μέγα φέγγος ἄδοιμι.

## ΨΑΛΜΟΣ ΝϚ'.

Καὶ τόδε Δαυΐδου τὸ μελίδριον, εὖτε Σαούλου
Ἄπρηκτον μανίην ἀσπασίως προφυγὼν,
Ἴαχε πεντηκοστὸν ὁμοῦ καὶ ἕκτον ἄεισμα,
Εἰς σπέος ἑζόμενος ὁ πρὶν ἀριστοπόνος.
Ἵλαθί μοι, Βασιλεῦ πανεπίσκοπε, καί μ' ἐλεαίροις·
Οὕνεκά σοι φίλον ἦτορ ἀεὶ περιθάρσυνον ἴσχω.
Σῇσι περὶ σκέπαϊ σκιερῷ πτερύγεσσι πεποιθὼς,
Εἰσόκεν ἀχράαντος ἀτασθαλίη με παρέλθοι.
Ὕψιστον καλέσαιμι Θεὸν βασιλῆα λιτῇσιν
Ἄφθιτον, οὗ σύμπαντα φέρω φυσίζοα δῶρα.
Οὐρανόθεν προϊείς με, κακῆς ἐσάωσεν ἀνάγκης,
Καί με καταστείβοντας ὀνείδεσι δῶκεν ἀλείτας.
Πέμψεν ἀληθείην καὶ ἑὴν οἰκτίρμονα βουλήν·
Ῥύσατο δὲ σκύμνων ὀλοῶν μέσον ἦτορ ἐμεῖο.

Αὐτὸς ἐκοιμήθην κρυερῇ τεταραγμένος ἄτῃ.
Ἀνέρες εἰς ἀσπίς τε καὶ οἷς βέλος εἰσὶν ὀδόντες,
Ὀξείῃ δὲ γλῶσσα πανείκελός ἐστι μαχαίρῃ.
Ὄρσ' ὑπὲρ οὐρανίων δαπέδων, πανυπέρτατε Ποιμὴν,
Καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.

Ἡμετεραις ἔπλεξαν ἀμήχανα δίκτυα πέζαις,
Καὶ θυμὸν κατέκαμψαν ἐμὸν πογέοντα κακοῖσι.

A

## PSALMUS LV.

*Neque fugiens David suorum oblitus est populorum,*
*Sed Deum orabat ut parceret viris,*
*Qui mentem posuerunt in pietate amabili.*
*Ille quidem suaviter canebat in extraneis terris:*
*Getthæi vero eum viri contumeliis capientes.*
*Duxerunt suo regi: Deus autem eripuit a laboribus.*
*Hoc vero quinquagesimum est et quintum carmen.*
Miserare me: valde enim me conculcat pedibus vir:
Laboribus me onerabat tota die impugnans.
Tota die pedibus osorum conculcatus sum:
Alte ab aurora multi parant bella.
Nullum timeam, quoniam tu mea spes es.
Gratulatione Regem tota die celebrabo.
Quid horresco mortalem virum? Deus mihi spes est.
Nostros exsecrabantur in animis semper sermones:
B Semper in me mala consilia consultabant.
Prope habitantes suas abscondent curas,
Calcanei nostri custodiam facientes semper.
Sicut vero ipsi delitescentes meum exspectabant [cor perdere:

Sic ira destruas horrida maleficas gentes:
Excandescens corde confringas elatum populum.
Nostram tibi, Rex, dulcem annuntiavi vitam,
Et meam posuisti lacrymam tuorum in conspectu [oculorum.

Inimici promissis tuis convertantur retrorsum,
Cum tuam, Rex, adjutricem manum invocabo.
Cognovi, quoniam Deus omnia lustrans es meus.
Canam confidenter Deo gratum carmen Regi,
Domino carmen gratum cantabo.
C Non timeo mortalem virum, Deus mihi spes est.
Sunt mihi vota, quæ tibi, Beate, laudem canam:
Quoniam meum solvisti morte ærumnosum cor,
Oculos vero luctu, pedes eripuisti a lapsu.
Viventium regi Deo magnum lumen cantem.

## PSALMUS LVI.

*Et hæc Davidis cantiuncula, cum Saulis*
*Irritum furorem libenter profugiens,*
*Resonuit quinquagesimum simul et sextum carmen,*
*In spelunca sedens qui antea strenuus.*
Propitius esto mihi, Rex provide, et me miserare:
Quoniam tibi charum cor semper confidens habeo.
Tuis in velamine umbroso alis confisus,
Donec impura iniquitas me transeat.
Altissimum invocem Deum regem precibus
Immortalem, cujus omnia fero vivifica dona.
D De cœlo mittens, me mala servavit necessitate,
Et me conculcantes probris dedit errones.
Misit veritatem et suum misericors consilium:
Eripuit vero catulorum perniciosorum de medio [cor meum.

Ipse dormivi difficili conturbatus calamitate.
Viri quibus scutumque et quibus telum sunt dentes,
Acuto autem lingua persimilis est gladio.
Exaltare super cœlestia pavimenta, supreme Pastor,
Et tua immensa gloria super terram universam [veniat.

Nostris texuerunt difficiles laqueos pedibus,
Et animum incurvaverunt meum laborantem malis.

Ceciderunt in foveam quam meos posuerunt ante oculos.
Animus paratus meus, Provide, animus paratus :
Gloria mea cantabit et in psalmis canet.
Exsurge mihi, sapientiæ honoranda et immortalis gloria :
Exsurge mihi, cithara et meorum psalterium hymnorum :
Studiose diluculo surgens resonabo :
Celebre carmen tibi, Rex, in populis clamabo,
Et populis multis citharistrepam laudem cantabo.
Cœlestes misericordiam habes supra portas,
Et tua veritas nubium ex adverso volat.
Exaltare supra cœlestes portas, supreme Pastor,
Et tua immensa gloria super terram universam veniat.

## PSALMUS LVII.

*Columnæ qua bellicosos super David scripsit,*
*Nunquam perire in fine pulchrum carmen :*
*Quo in quinquagesimus est et septimus hymnus.*
An utique vere sanctos loquimini sermones,
Et jus æquum mortalium dirigitis, filii,
Scelus animis in terra fabricantes,
Nectentes manibus maleficis iniqua ?
Alienati ante partum a Deo sunt peccatores,
Ab uteroque erraverunt semper falsa loquentes
Venenatis serpentibus persimiles furentes,
Aspis ut surda, cui ira aures obturat :
Quæ sane non medicum incantantem audit,
Medicatum vero non ipsi curæ est sapientis viri remedium.
Horum vero Deus conteret in ore tetro dentes :
Maxillas perniciosorum Rex confringet leonum.
Vituperabiles fiunt frustra tanquam decurrens aqua :
Arcum Rex tendat donec morbis deficiant.
Ceræ liquescenti similes, tabescant malis :
Solis obliti sunt igne procedente super ipsos.
Vestram priusquam rhamnum suas intelligere spinas:
Statim absorbeat sicut viventes contumelia.
Videns sanctus lætabitur vindicem diem :
Sanguine utique abluat charas manus peccatoris.
Dicturus quod fructus gloriosi est justi,
Quod Deus in terra mortalium est vindex operum.

## PSALMUS LVIII.

*Columnæ ad inscriptionem scribens David inculpatus,*
*Subditus vaticinatus est habere finem honestum hymnorum :*
*Quando Saul cor immemor laborum*
*Hujus ferens, priorum vero oblitus compositionum,*
*Misit strenui domum generi custodire,*
*Ut ipsi pro bonis mortem præmium grave conciliet.*
*Hujus vero quinquagesimus est et octavus hymnus.*
Æterne, hostium me mala eripe calamitate :
Ab vero insurgentibus mihi liberum diem præbeas.
Sed et ab homicidis me perniciosis gravem animum,

(36) Ἐμματέως. Forte ἐμμαπέως. Edit.

A Κάππεσον εἰς βόθρον, τον ἐμῶν θέσαν ἀντίον ὄσσων.
Θυμὸς ἑτοῖμος ἐμὸς, Πανεπίσκοπε, θυμὸς ἑτοῖμος·
Κῦδος ἐμὸν μέλψει σε, καὶ ἐν ψαλμοῖσιν ἀείσει.
Ἔγρεό μοι, σοφίας γεραρὸν καὶ ἀγήραον εὖχος,
Ἔγρεό μοι, φόρμιγξ καὶ ἐμῶν ψαλτήριον ὕμνων·
Ἐμματέως (36) ἠῶθεν ἀνεγρόμενος κελαδήσω·
Ἀμφιβόητον ἔπος σοι, Ἄναξ, λαοῖσι βοήσω,
Καὶ δήμοις πολέεσσι λυρόκτυπον αἶνον ἀείσω.
Οὐρανίων ἔλεητὺν ἔχεις καθύπερθε πυλάων,
Καί σευ ἀληθείη νεφέων κατένανὰα ποτᾶται.
Ὄρσ' ὑπὲρ οὐρανίων πυλέων, πανυπέρτατε Ποιμὴν,
Καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.

B

## ΨΑΛΜΟΣ ΝΖ'.

Στήλης ἧς μενέχαρμος ὕπερ Δαυΐδος ἔγραψε,
Μηδέποτε φθεῖραι πρὸς τέρματι καλὸν ἄεισμα.
Οὗ πάρα πεντηκοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος
Ἦ ῥά που ἀτρεκέως ὁσίους ἀγορεύετε μύθους,
Καὶ θέμιν ἰθεῖαν μερόπων ἰθύνετε, παῖδες,
Ἀμπλακίην πραπίδεσσιν ἐπὶ χθονὶ τεκταίνοντες,
Πλεξάμενοι παλάμησι κακοῤῥέκτοις ἀθέμιστα ;
Ἀλλότριοι πρὸ τόκοιο Θεοῦ γεγάασιν ἀλεῖται,
Ἐκ γαστρός τ' ἀλάληνται ἀεὶ ψεύδη λαλέοντες,
Ἰοβόλοις ὀφίεσσι πανείκελοι μηνιόωντες,
Ἀσπὶς ὅπως κωφὴ, τῇπερ κότῳ (37) οὔατ' ἔδυσεν·
Ἢ ῥ' οὐκ ἰητῆρος ἐπαείδοντος ἀκούει.
Φαρμακόεν δ' οὔ οἱ μέλεται σοφοῦ ἀνέρος ἄλκαρ.
C Τῶν δὲ Θεὸς συνέτριψεν ὑπὸ στόμα πικρὸν ὀδόντος·
Γαμφηλὰς ὀλοῶν Βασιλεὺς ξυνέαξε λεόντων.
Μωμητοὶ τελέθουσι μάτην ἅτε νίσσεται ὕδωρ·
Τόξον Ἄναξ τανύσειεν ἕως νούσοισι δαμεῖεν
Κηρῷ τηκομένῳ ἴκελοι τήκοιντο κακοῖσιν·
Ἠελίου λελάθοντο πυρὸς προμολόντος ἐπ' αὐτούς.
Ὑμετέρην πρὶν ῥάμνον ἑὰς διαΐδμεν ἀκάνθας·
Αἶψα καταβρώξειεν ὅπως ζώοντας ἀρειῇ.
Εἰσορόων ὅσιος κεχαρήσεται ἔκδικον ἦμαρ.
Αἵματί που νίψαιτο φίλας περὶ χεῖρας ἀλιτροῦ
Ἐξερέων, ὅτι καρπὸς ἀγακλέος ἐστὶ δικαίου,
Ὡς Θεὸς ἐν γαίῃ βροτέων πέλει ἔκδικος ἔργων

## ΨΑΛΜΟΣ ΝΗ'.

D Στήλης εἰς ἐπίγραμμα γράφων Δαυΐδος ἀμύμων,
Ἀρχόμενος θέσπιζεν ἔχειν τέλος ἔφογον ὕμνων·
Ὁππότε Σαοῦλος κραδίην ἀμνήμονα μόχθων
Τοῖο φέρων, προτέρων δὲ λελασμένος ἁρμονιάων,
Πέμψεν ἀριστοπόνοιο δόμον γαμβροῖο φυλάσσειν·
Ὄφρα οἱ ἀντ' ἀγαθῶν θάνατον γέρας αἰνὸν ὀπάσσοι.
Τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ ὄγδοος ὕμνος·
Ἄφθιτε, δυσμενέων με κακῆς ἐξάρπασον ἄτης·
Ἐκ δὲ κορυσσομένων μοι ἐλεύθερον ἦμαρ ὀπάζοις·
Ἀλλὰ καὶ ἀνδροφόνων μ' ὀλοῶν βαρυώδυνον ἦτορ,

(37) Κότῳ. Forte κότος. Edit.

Οἵ πρὶν ἀνιχνεύεσκον, Ἄναξ, ἀπὸ ῥίμφα σαώσοις.
Κάρτιστοί νύ μοι ἄνδρες ἐπιβρίθεσκον ἐρωῇ,
Οὐ περὶ δυσνομίης, οὐδ' ἀμπλακίῃσιν ἐμῇσι.
Δυσνομίης ἀπάνευθε δραμὼν, ὁδὸν εὗρον ἑτοίμην.
Ἐγρόμενος Βασιλεῦ, παρ' ἔμ' ἵστασο, καὶ ἴδε ἔργον.
Καὶ σὺ, Ἄναξ, σθενέων Ἰσραήλοιό τε Ποιμὴν,
Ἔθνεσι παντοδαποῖς πανεπίσκοπον ὄμμα τιταίνοις,
Μηδὲ κατοικτείρειας ἀτασθαλίης θεράποντας.
Ὥρης ἑσπερίῃσιν ἐπιστρέψουσιν ἄπαστοι,
Καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
Τῶν φθογγὴ μὲν ἄπυστος, ἀτὰρ περὶ χείλεσιν ἄορ,

Ὄφρα τις εἰσαΐοι· σὺ δ' ἅμα σφέας ἡδὺ γελάσαις.

Φῦλα βροτῶν ὀνόσαιο κακῶν χάριν ἀμπλακιάων.

Κάρτος ἐμὸν Βασιλῆϊ μεγακλήεντι φυλάζω,
Οὕνεκά μευ Θεὸς αἰὲν ὑπερμενέως προμαχίζει.
Ἀμφιβάλοι μ' ἐλεητὺς ὑποφθαμένη Βασιλῆος.
Ἡμετέροις δαμάσειας ὑπ' ὀφθαλμοῖσιν ἀλείτας,
Μὴ κτείνων, ἵνα σεῖο νόμου μὴ πάγχυ λάθοιντο·

Ἀλλὰ βίῃ μεγάλῃ καὶ κάρτεϊ ῥεῖα κεδάσσαις,
Καί σφεων ἠνορέην δαπέδῳ πελάσειας, ἀμύντωρ,
Ἀμπλακίην στόματος σφετέρου, χειλέων θ' ἅμα μῦθον.
Σφωϊτέρης μεγάλῃσιν ὑπερβασίῃσιν ἄλῳεν·
Ὧν τέλος ἐξ ἀρῆς καὶ ψεύδεος ἀγγέλλοιτο,

Πεῖρας χωομένοισι μόλοι καὶ τέρμα βίοιο.
Ἴστωσαν, Θεὸς οὕνεκ' Ἰακώβου βασιλεύει,
Παντοδαπαῖς ἄντυξιν ἀνακτορίην χθονὸς ἴσχων.
Ὥρης ἑσπερίῃσιν ἐπιστρέψουσιν ἄπαστοι,
Καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
Οἱ δὲ κεδασθήσονται ἐνηέα δόρπον ἑλέσθαι.
Ἢν δὲ μάτην τρίζωσι κορεσσάμενοι (38) κατὰ θυμὸν,
Αὐτὸς ἀγακλῆεν σεῖο σθένος ὑμνοπολεύσω·
Ἠῶθεν δ' ἐλέῳ κεχαρήσομαι, Ἄφθιτε, σεῖο·
Οὕνεκά μεύ Θεὸς ἐσσὶ, καὶ ἔκδικος αὐτὸς ἐτύχθης,
Καί μευ ἔφυς κακότητος ἐν ἤματι πύργος ἑτοῖμος.
Ὄρχαμε, φορμίζω, σε, ἐπεὶ σύ μευ ἔπλευ ἀρωγός·
Νωίτερος Βασιλεὺς ἐλεημοσύνη μευ ἐτύχθη.

## ΨΑΛΜΟΣ ΝΘ'.

Ἐπίγραμμα τοῦτο πραγμάτων ὕπερ χαρᾶς,
Αὖθις μεταστρεφθέντι τῶν λοιπῶν λεῶν,
Ὑπὲρ τὸ νομισθὲν τῷ βασιλεῖ πεπραγμένων.
Καὶ γὰρ παρελθὼν τοὺς Παλαιστίνης ὅρους,
Καὶ τἄλλ' ἐφεξῆς τῶν Σύρων τὰ χωρία,
Τὴν Μεσοποταμίαν πυρπολεῖ κατὰ κράτος.
Ἰώαβος δὲ σὺν Θεῷ αὐτὸς πάλιν
Ἐδὼμ πατάσσει τῇ φάραγγι τῶν Ἁλῶν,
Ἀνδρῶν φονεύσας χιλιάδας δώδεκα,
Τὸν Σόβαλον δὲ τὸν Σύρον κατασπάσας.
Ὡς δ' οἶδεν ἀλλοίωσιν ἀγαθῶν πραγμάτων
Δαυΐδος, ἐνεφορεῖτο θείου πνεύματος.
Ἐπέταξε πορθεῖν τῷ στρατηγῷ συντόμως·
Ὑμνεῖ δὲ πεντηκοστὸν ἀμφ' ἐνάτῳ μέλος.

Ἡμέας, ὦ Βασιλεῦ, καθελὼν ἐξώσαο πάντας·
Χωσάμενος δ' ἐλέησας ἀμαιμάκετον μετὰ μῆνιν·
Γαῖαν ὅλην ἐδόνησας ἀφειδείῃσιν ὀρίνων.

A Qui antea indagabant, Rex, celeriter conserves.
Fortissimi utique mihi viri irruebant impetu,
Neque pro iniquitatibus, neque peccatis meis.
Iniquitate absque currens viam inveni paratam.
Surgens, Rex, apud me consiste et vide opus.
Et tu Rex roborum, Israelisque Pastor,
Gentibus variis omnia lustrantem oculum extendas,
Neque miserearis stultitiæ servis.
Horis vespertinis convertentur jejuni,
Et canibus famelicis similes urbem circumeant.
Horum sonus quidem obscurus, cæterum in labiis [gladius,
Ut quispiam exaudiat : tu vero utique ipsos dulce [rideas.
Genera mortalium deprimas malorum gratia pec- [catorum.

B Robur meum Regi inclyto servabo,
Quia me Deus semper fortiter propugnat.
Circumdet me misericordia præveniens Regis.
Nostris domes in oculis peccatores,
Non occidens, ut tuæ legis non prorsus obliviscan- [tur:
Sed vi magna et robore facile dissipes,
Et eorum robur pavimento admoveas ultor,
Delictum oris sui, labiorumque simul sermonem.
Suis magnis superbiis capiantur :
Quorum finis de exsecratione et mendacio annun- [tiabitur,
Finis irascentibus veniat et terminus vitæ.
Sciant, Deus quia Jacob dominatur,
C Variis orbibus imperium terræ tenens.
Horis vespertinis convertentur jejuni,
Et canibus famelicis similes civitatem circumeant.
Ipsi vero dispergentur placidam cœnam capere.
Si vero frustra stridant saturi ex animo,
Ipse gloriosum tuum robur celebrabo :
Mane vero misericordia lætabor, Æterne, tua :
Quia meus Deus es, et vindex ipse exstitisti,
Et mei fuisti malitiæ in die turris parata.
Princeps, canto te, quia tu meus es adjutor :
Noster Rex misericordia mea est.

## PSALMUS LIX.

*Inscriptio hæc rerum pro lætitia*
*Rursus verso cum reliquis populis*
*Pro more a rege gestorum.*
*Etenim transiens Palæstinæ terminos,*
D *Et alia deinceps Syrorum loca,*
*Mesopotamiam incendit prorsus.*
*Joabus vero cum Deo ipse rursum*
*Edom percutit in valle Salinarum,*
*Virorum interficiens millia duodecim*
*Sobalum autem Syrum detrahens.*
*Ut vero intellexit mutationem bonarum rerum*
*David, agitabatur divino spiritu*
*Jussit expugnare duci celeriter :*
*Canit autem quinquagesimum cum nono carmen.*

Nos, o Rex, dissipans repulisti omnes :
Succensens vero misertus es invictam post iram :
Terram totam concussisti immanitatibus commo- [vens,

(38) Κορεσσάμενοι. Forte, κορυσσόμενοι. EDIT.

Utinam ipsi sanes quæ confregisti involvens.
Tuis, Beate, populis ferrea dedisti videre :
Memor multiplicis vinum præbuisti nobis molestiæ.
Signum dedisti servis vim arcus fugere,
Ut tuos famulos liberes necessitate.
Dextera me serva, et meam exaudi vocem.
Dixit Rex sancto suo concors verbum.
« Lætatus Sicema cito dividam jam,
Et vallem dimetiar frequentibus caulis. »
Noster Galaadusque, noster vero Manasses,
Ephremus nostri capitis robur est.
Cæterum quidem gloriæ rex meus est Judas :
Spei vero lebes meæ et Moabus integer.
Extendam calceum meum ante Idumæam :
Pedibus sub nostris aliena genera subacta sunt.
Vellem turritæ inclytum urbis ducem,
Aut etiam rectorem Idumææ ad populos.
Nonne ipse, Rex, dux fueris, qui antea dimittens,
Neque armatis venies nobis adjutor ?
Afflictis auxiliator, Rex, palam appareas :
Nobis vero vanum mortalium lumen præbeas.
In forti Rege virtutem perficiamus paratam :
Hostium vero tetram insolentiam conterat.

PSALMUS LX.

*Sexagesimum scripsit rex David carmen.*

Supplicationem exaudi meam, supreme Pastor,
Et mihi in precatione longe lustrantem oculum [extendas
Indigus clamabam, Rex, finibus a terræ :
Anxio me exaltasti meo corde in petra :
Dux meus fuisti, quoniam tu mea spes es,
Turris mea in conflictu irruentium perditorum :
Tuis, Beate, casis perpetuo inhabito.
Et tuarum divinum alarum velamen circummunias.
Quoniam nostras, Beate, exaudisti preces
Hæreditatem nobilem tuis famulis dedisti,
Diem super diem regi præbeas vitæ vias,
A generatione in generationem Deo coram firmum [reperiat.
Quis ipsi veritatem misericordiamque simul requi- [rat ?
Semper meum Regem chara cithara clamabo,
Donec preces persolvam, Beate, de die in diem.

PSALMUS LXI.

*Idithumo carmen pro David scripsit,*
*Hoc sexagesimum carminum et primum cantans.*

Nonne nostrum subjicietur cor Regi ?
Etenim lumen meum est Regis auxilium :
Quoniam meus Deus ipse, meum vero tuetur robur.
Præsidium meum, quod, et non aliquando spero [esse erro.
Quousque viro pugnatis, simulque interficitis om- [nia ?
Parieti inclinato similes maceriæque cadenti,
Cucurri in siti : cogitaverunt vero me inglorium [reddere :
Precati linguis exsecrationibus animis feriebant.

A Ἔθε οἱ ἰήσαιο τάπερ ξυνέαξας ἑλίξας.
Σεῖο, Μάκαρ, λαοῖσι σιδήρεα δῶκας ἰδέσθαι·
Μνήμονα παντοίης οἶνον πόρες ἄμμιν ἀνίης.
Σῆμα πόρες δμώεσσι βίην τόξου ἀλέασθαι,
Ὄφρα τεοὺς θεράποντας ἀφαρπάξειας ἀνάγκης.
Δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς.
Εἶπεν Ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον·
« Τερψάμενος Σίκημα θοῶς διαδάσσομαι ἤδη,
Καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων. »
Ἡμέτερος Γαλαάδος θ', ἡμέτερος δὲ (39) Μανασσῆς,
Ἔφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη.
Αὐτάρ γ' εὐκλειὴς βασιλεὺς ἐμός ἐστιν Ἰούδας
Ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μώαβος ἀμύμων.
Ἐκτείναιμι πέδιλον ἐμὸν προπάροιθ' Ἰδυμαίης·
Ποσσὶν ἐφ' ἡμετέροις (40) ἀλλότρια φῦλα δαμάσθη.
B Ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα,
Ἠὲ καὶ ἰθυντῆρα Ἰδουμαίης μετὰ δήμους.
Ἦ ῥ' οὐκ αὐτὸς, Ἄναξ, ἡγήσαιο, ὁ πρὶν ἐάσσας,
Οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός
Τειρομένοις ἐπίκουρος, Ἄναξ, ἀναφανδὰ φανείης·
Ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίξοις.
Ἐν κρατερῷ Βασιλῆϊ βίην τελέσωμεν ἑτοίμην·
Δυσμενέων δ' ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.

ΨΑΛΜΟΣ Ξ'.

Ἑξηκοστὸν ἔγραψεν ἄναξ Δαυΐδος ἄεισμα.

Ἱκεσίης ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν,
Καί μοι ἐπ' εὐχωλῇ τελέσκοπον ὄμμα τανύσσαις.
Δευόμενος βοάασκον, Ἄναξ, περάτων ἄπο γαίης.
Ἀχνυμένης μ' ἀνάειρας ἐμῆς κραδίης ἐπὶ πέτρην·
Ἡγητὴρ ἐμὸς ἔσκες, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης,
C Πύργος ἐμὸς μετὰ δῆριν ἐπερχομένων ὀλετήρων·
Σῇσι, Μάκαρ, καλύβῃσι διηνεκέως παραμίμνω.
Καί σεο θεσπέσιον πτερύγων σκέπας ἀμφιπυκάζοις.
Οὕνεκα νωιτέρων, Μάκαρ, ἔκλυες εὐχωλάων,
Κλῆρον ἀγακλήεντα τεοῖς δμώεσσιν ἔδωκας·
Ἦμαρ ἐπ' ἦμαρ ἄνακτι πόροις βιότοιο κελεύθους,
Ἐκ γενεῆς γενεῆνδε Θεοῦ πέλας ἔμπεδον εὕροι.
Τίς οἱ ἀληθείην ἔλεόν θ' ἅμα μαστεύσειε;
Πάντοτ' ἐμὸν Βασιλῆα φίλῃ φόρμιγγι βοήσω,
Εἰσόκεν εὐχωλὰς τίσω, Μάκαρ, ἦμαρ ἐπ' ἦμαρ.

ΨΑΛΜΟΣ ΞΑ'.

Ἰδιθούμου κῶμον ὕπερ Δαυΐδος ἔγραψε,
Τόνδ' ἑξηκοστὸν μελέων καὶ πρῶτον ἀείσας.

D Ἦ ῥ' οὐχ ἡμέτερον δεδμήσεται ἦτορ Ἄνακτι;
Καὶ γὰρ φέγγος ἐμὸν τελέθει Βασιλῆος ἀρωγή·
Οὕνεκά μευ Θεὸς αὐτὸς, ἐμῆς δ' ὑπερίσταται ἀλκῆς.
Ἄλκαρ ἐμὸν τὸ καὶ οὔτι ποτ' ἔλπομαι εἶναι ἀλείτης,
Μέχρι τεῦ ἀνδρὶ μάχεσθε, ὁμῶς τ' ἐναρίζετε πάντα
Τοίχῳ κεκλιμένῳ ἴκελοι (41) φραγμῷ τε πεσόντι,
Ἔδραμον ἐν δίψῃ· σκέψαντο δέ μ' ἀκλέα τεῦξαι·
Εὐχόμενοι γλώσσῃσιν, ἀραῖς στέρνοισιν ἔπαιον.

(39) Ἡμέτερος δέ. Forte ἡμέτερός τε. EDIT.
(40) Ἐφ' ἡμετέροις. Forte, ὑφ' ἡμετέροις. EDIT.

(41) Ἴκελοι. Forte, ἴκελος. EDIT.

Θυμὲ, πέσον Βασιλῆϊ, Θεῷ δέδμησο πεποιθώς·
Οὕνεκεν ἐλπωρῆς μευ ἔθυ φυσίζοον ἔρμα.
Αὐτὸς γὰρ Θεός ἐστιν ἐμὸς, σωτήρ τε τέτυκται.
Ἄλκαρ ἐμὸν, τίς κέν με φίλης ἐλάσειε τιθήνης;

Κῦδος ἐμὸν καὶ φέγγος ὑπ' ἐννεσίῃσιν (42) Ἄνακτος.
Ἐλπὶς ἐμὴ Βασιλῆα μένει καὶ κάρτος ἀρωγῆς.
Παντοδαπὴ δήμων κλεσίη, θαρσήσατ' Ἄνακτι,
Σφωΐτερον δ' ἀναφανδὰ Θεῷ περιχεύσατε θυμόν·
Οὕνεκά τοι ἐπίκουρος ἀεὶ Θεὸς ἄμμιν ἐτύχθη.
Ἔμπα γε μὴν μερόπων ἁλίη σύμπασα γενέθλη,
Φύτλη ψευδαλέη μερόπων ἀδίκοισι ταλάντοις.
Ἐκ φρενὸς ὥρμηθεν κενεαυχέες εἰς ἓν ἰόντες.

Μηδέποτ' ἀμφ' ἀδίκοισι νόον μεμελημένον ἴσχειν,
Μηδέτ' ἐπ' ἀλλοτρίοις ἀγαθῶν θέμεν ἅρπαγα θυμόν.
Μηδὲ ῥόον πλούτοισι πολυκτεάνοιο ποθεῖτε.
Εἶπεν ἅπαξ Βασιλεὺς, δύο δ' ἔκλυον οὔασι τοῖα.

Ὡς Θεοῦ ἔπλετο κάρτος, ἰδ' ὡς ἐλεητὺς Ἄνακτος.
Πᾶσι σὺ μισθὸν, Ἄναξ, ὀπάσῃς ἀντάξιον ἔργων.

ΨΑΛΜΟΣ ΞΒʹ.

Δαυΐδου κλυτὸς ὕμνος Ἰουδαίας ἐν ἐρήμῳ,
Ἑξηκοστὸς ὁμοῦ καὶ δεύτερος οὗτος ἐτύχθη.
Νύκτα μετ' ἀμφιλύκην σε, Μάκαρ, Μάκαρ, ἀμφιχορεύσω.
Καὶ ψυχή σ' ἐπόθησεν ἐμὴ, καὶ σάρξ ἔτι μᾶλλον.
Τρηχεῖαν καὶ ἄνυδρον ἀνὰ χθόνα πολλὸν ἐρήμην.
Σοὶ, Μάκαρ, ἐν ἁγίῳ μάλα θάρσυνος ὧδε φαάνθην,
Ἰσχανόων δύναμίν τε τεὴν καὶ κῦδος ἰδέσθαι.
Κρεῖσσον (43) ἔχεις ἐλεητὺν, Ἄναξ, βιότοιο κελεύθων·
Χείλεσιν ἡμετέροισι τεὸν κλέος ὑμνοτολεύσω.
Ὧδέ σε κυδαίνοιμι διαμπερὲς εἰσόκεν ἕρπω,
Σοὶ δ' ἐπιθαρσήεις παλάμας εἰς ὕψος ἀείρω.
Οἷάτε πιαλέης πλησθήσομαι ἦτορ ἀλοιφῆς·
Χείλεα δ' εὐφροσύνης ἐμέθεν στόμα πάντοτε μέλψει.
Εἰ σέθεν ἐν λεχέεσσιν ἐμοῖς μεμνημένος ἦα,
Σοῖσι μάλ' ἐξ ἠοῦς μελεδήμασι θυμὸν ἔβοσκον,
Οὕνεκεν ἄμμιν, Ἄναξ, ἐπιτάρροθος ἐξεφαάνθης·
Καί σεο γηθήσαιμι περὶ πτερύγων ἀλεωρῇ.
Ἴχνεϊ σῷ ξυνοπηδὸν ἐμὸν φίλον ἦτορ ἐρείσθη·
Καί σεο δεξιτερὴ μευ ὑπερμενέως προμάχησεν.
Οἱ δὲ μάτην μάστευον ἐμὸν διὰ θυμὸν ὀλέσσαι.

Νερτερίων ὑπένερθεν ἱκοίατο ῥίμφα βερέθρων·
Χειρῶν ἁρπαλέων ξίφεος μέλπηθρα τετύχθων.
Δεινὸν ἀλωπήκεσσιν ἕλωρ καὶ δασμὸς ἔσονται.
Αὐτὰρ ἄναξ Θεῷ ἀμφὶ φίλην φρένα γηθήσειεν·
Πᾶς δὲ οἱ ὀμνύμενος κλέος ἄφθον αἴνετος ἔσται.

Πᾶν γὰρ ἀπεκλείσθη λάβρον στόμα λωβητήρων.

ΨΑΛΜΟΣ ΞΓʹ.

Δαυΐδου λιγυρὸς μεγαλοσθενέος βασιλῆος
Ἑξηκοστὸς ὁμοῦ τρίτατός θ' ἅμα κῶμος ἐτύχθη.
Ἱκεσίης ἐπάκουσον, Ἄναξ, ὅτε σεῖο λιτοίμην·
Θυμὸν ἐμὸν λύσειας ὑπ' ἀντιβίης μελεδῶνος.

(42) Ὑπ' ἐννεσίῃσιν. Forte ἐπ' (pro ἐν) ἐννεσίῃσιν. Edit.

A Anima, cadito Regi, Deo subjecta esto confisa:
Quoniam fiduciæ meæ est vivificum decus.
Ipse enim Deus est meus, servatorque est.
Robur meum, quis utique me chara divellet nutrice?

Gloria mea et lumen in mandatis Regis:
Spes mea Regem exspectat et robur auxilii.
Omnifaria populorum caula, confidite Regi,
Vestrum vero palam Deo effundite animum:
Quia utique adjutor semper Deus nobis est.
Verumtamen mortalium vana universa generatio.
Genus mendax hominum iniquis lancibus.
Ex animo concitati sunt jactabundi in unum euntes.

Nunquam in injustis animum occupatum habere,
B Neque in alienis bonorum ponere rapacem animum
Neque fluxum divitiis locupletis concupiscite.
Locutus semel Rex, duo autem audivi auribus talia:
Quia Dei est robur, et quia misericordia Regis.
Omnibus tu mercedem, Rex, reddes æquandam operibus.

PSALMUS LXII.

*Davidis inclytus hymnus Judææ in eremo,*
*Sexagesimus simul et secundus hic est.*
Nocte post crepusculum te, Beate, Beate, celebrabo.
Et anima te desideravit mea, et caro adhuc magis,
Aspera et inaquosa in terra multum deserta,
Tibi, Beate, in sancto valde fidens sic apparui,
Concupiscens virtutemque tuam et gloriam videre.
C Meliorem habes misericordiam, Rex, vitæ viis;
Labiis nostris tuam gloriam celebrabo
Sic te glorificem semper donec repo,
Tibi vero confisus manus in altum attollo.
Velatique pingui satiabor animum adipe:
Labia vero lætitiæ mea os semper canet.
Si tui in cubilibus meis memor fui,
Tuis valde ab aurora curis animum pascebam,
Quoniam nobis, Rex, adjutor apparuisti:
Et tuorum exsultem in alarum munimento.
Vestigio tuo comes meus charus animus firmatur:
Et tua dextera me potenter propugnavit.
Ipsi vero frustra quærebant meum animum perdere.

Profunda infra veniant statim barathra:
Manuum rapacium gladii ludi fiant.
D Terribilis vulpibus præda, et portio erunt
Cæterum rex Deo circa charum animum exsultet:
Omnis vero ei jurans gloria immortali laudandus erit.

Omne enim obstructum est rapidum os insolentium.

PSALMUS LXIII.

*Davidis argutus magnanimi regis*
*Sexagesimus simul tertiusque simul cantus est.*
Supplicationem exaudi, Rex, cum te deprecer,
Animum meum liberes a violenta cura.

(43) Κρεῖσσον. Forte κρεῖσσον'. Edit.

Abscondisti me longe a malis gregatim euntibus,
A multitudine quibus curæ sunt iniqua opera:
Qui linguas exacuebant suas gladiis similes,
Opera autem horrendo projecerunt similia telo
Ut sagittent innocentem virum clam.
Neque eum subito corde timebunt, jaculantes.
Solide firmaverunt procacem consiliis sermonem:
Rete considerarunt astutiis abscondere.
Dixerunt : Quis utique videat obscurum suis oculis opus ?
Animo vero indagarunt iniquitatem molestam :
Ipsi vero deficiebant immensa scrutantes.
Alte prudens consilium habens accedet vir,
Qui sane altitonantis potentiam Regis exaltet.
Sic tela projecerunt quantum et infans puer,
Debilibus linguis superba loquentes.
Omnes simul conturbati sunt qui eos videbant.
Quis mortalium non vidit, videns autem non horruit animo.
Et celebria Dei annuntiavit opera,
Artes immortalis manus animis observans ?
Lætetur Regis in spebus justus :
Rectis vero simul omnibus augescet laus immensa.

PSALMUS LXIV.

*Canta mihi, Iezechiele, et Jeremia, clama,*
*Quo pacto tunc servilem diem subierunt ipsi post terram,*
*Ut aliquando templum Regis deserentes venerunt ?*

*Canite honoratam lamentantes Regis :*
*Populusque celebris suorum gratia peccatorum.*

Tibi, Beate, in Sione convenit multus hymnus.
In Jerusalem vero fers iteratum votum,
Omne mortale precatur te genus, tu vero exaudi, Pastor
Audi precem : te vero omnis salutat humana caro.
Roboris obliviscimur verba auscultantes iniqua.
Nostris vero animum habeas misericordem stultitiis,
Beatus, qui apud te præelectus domos habitat,
Tua apud atrientia casam figat palatia.
Tuarum domorum bonis charum replebimus animum :
Immaculatum tuum templum ob æquitates admirabile.
Auxiliator et Rex, communem exaudi vocem :
Terræ spes omnium finium et longe maris :
Robore opacos, Beate, tuo monte parans,
Improvisum cingulum tuam cinctus potentiam,
Qui vastitatem conturbabas immensi maris.
Quis ferre sui vim possit æstus impetum ?
Genera mortalium turbentur, ferant vero timores animo,
Terminos habitantes, ubi ipsis fixisti signum.
Auroræ ortum et vesperam simul delectabis.
Visitans nivibus, Rex, inebriasti terram,

A Ἔκρυψάς μ' ἀπάνευθε κακῶν ἀγεληδὸν ἰόντων,
Πληθύος, οἷσι μέμηλε νόῳ ἀθεμίστια ἔργα·
Οἳ γλώσσας θέγεσκον ἑὰς ξιφέεσσιν ὁμοίας
Ἔργα δὲ ῥιγηλῷ πρόεσαν πανομοία τόξῳ.
Ὥς κεν ὀϊστεύσωσιν ἀναίτιον ἀνέρα λάθρῃ.
Οὐδέ μιν ἐξαπίνης κραδίῃ δείσουσι βαλόντες.
Ἔμπεδον ἐστήριξαν ἀναιδέα δήνεσι μῦθον·
Δίκτυον ἐσκέψαντο δολοφροσύνῃσι καλύψαι.
Εἶπον· Τίς κεν ἴδοι σκότιον σφέων ὄμμασιν ἔργον;
Θυμῷ δ' ἀνιχνεύεσκον ἀλιτροσύνην ἀλεγεινήν.
Οἱ δ' ὀλιγηπελέεσκον ἀπείριτα μαστεύοντες.
Νειόθεν ἴδμονα μῆτιν ἔχων προσελεύσεται ἀνήρ,
Ὅς ῥ' ὑψιβρεμέταο βίην Βασιλῆος ἀείροι
Ὧδε βέλη προέηκαν ὅσον καὶ νήπιος υἱός,
B Ἠπεδαναῖς γλώσσῃσιν ὑπέρβια μυθίζοντες.
Πάντες ἅμ' ὠρίνθησαν, ὅσοι σφέας εἰσοράασκον.
Τίς μερόπων οὐκ εἶδεν, ἰδὼν δ' οὐκ ἔτρεσε θυμῷ,
Καὶ πολυκυδήεντα Θεοῦ διαπέφραδεν ἔργα,
Τέχνας ἀθανάτης παλάμης πραπίδεσσι δοκεύων;
Τερπέσθω Βασιλῆος ἐπ' ἐλπωρῇσι δίκαιος·
Ἰθυνόοις δ' ἅμα πᾶσιν ἀέξεται αἶνος ἀπείρων.

ΨΑΛΜΟΣ ΞΔ'.

Μέλπε μ', Ἰεζεκιῆλε, καὶ Ἱερεμία, βόησον,
Πῶς τότε δούλιον ἦμαρ ὑπήλυθον οἱ μετὰ γαῖαν,
Ὥς ποτε νηὸν Ἄνακτος ἀποπρολιπόντες ἔβησαν.
Μέλψατε τιμήεσσαν ὀδυρόμενοι Βασιλῆος·
Λαός τ' εὐκλειὴς σφετέρων χάριν ἀμπλακιάων.
Ἑξηκοστὸς ὁμῶς καὶ τέτρατος ὕμνος ἐτύχθη·

C

Σοὶ Μάκαρ, ἐν Σιῶνι μεταπρέπει ἄσπετος ὕμνος,
Ἐν δὲ Ἱερουσαλῆ φορέεις παλινάγρετον εὐχήν,
Πᾶν βρότεον λίνεταί σε γένος· σὺ δὲ κέκλυθι, Ποιμήν.
Κλῦθι λιτῆς· σὲ δὲ πᾶσα λιτάζεται ἀνδρομέη σάρξ.
Ἠνορέης λαθόμεσθ', ἐπέων ἀΐοντες ἀθέσμων·
Νῶϊ δὲ θυμὸν ἔχοις ἐλεήμονα δυσφροσύνῃσιν.
Ὄλβιος, ὃς παρὰ σοὶ προλελεγμένος οἰκία ναίει (44),
Σοῖσι πὰρ αὐλείοις κλισίην πήξοιτο μελάθροις.
Σεῖο δόμων ἀγαθοῖσι φίλον πλησώμεθα θυμόν
Ἄχραντός σεο νηὸς ἐπ' εὐδικίῃσιν ἀγητός.
D Ἀλκτὴρ καὶ Βασιλεῦ, ξυνῆς ἐπικέκλυθι φωνῆς.
Γαίης ἐλπὶς ὅλων περάτων καὶ νόσφι θαλάσσης·
Ἠνορέῃ σκιόεντα, Μάκαρ, σέθεν οὔρεα τεύχων,
Ἀπροτίοπτον ζῶμα τεὴν ἐζωσμένος ἀλκήν,
Ὃς μέγεθος κλονέεσκες ἀμετρήτοιο θαλάσσης.
Τίς φορέειν σφετέροιο βίην (45) σθένει οἴδματος ὁρμήν;
Φῦλα βροτῶν κλονέοιντο, φέροιντο δὲ δείματα θυμῷ,
Πείρατα ναιετάοντες, ὅπως σφίσι πήξαο τέκμωρ.
Ἠοῦς ἀντολίην καὶ ἑσπερίην ἅμα τέρψεις.
Σκεψάμενος νιφάδεσσιν, Ἄναξ, ἐμέθυσας ἄρουραν,

(44) Ναίει. Forte, Νέοι. Edit.

(45) Βίην, Forte, λίην. Edit.

Θήκαο δ' ἀφνειὴν ἀγαθῶν ἐγκύμονα καρπῶν
Ἀθανάτου ποταμὸς πυκινοῖς βέβριθε ῥεέθροις,
Καί σφισιν ὥστε Θεὸς βρῶσιν προέηκας ἑτοίμην
Καρποτόκους εὔφρηνον, Ἄναξ, σέθεν αὔλακας αἴης·
Εὔζωον δέ οἱ οὖδας ἄγοι πολυειδέα καρπόν·
Αἰθερίης ψεκάδεσσι γανύσσεται ἀντέλλουσα.
Σῆς, Ἄνα μειλιχίης ἔτεος στέφος αἰνήσειας,
Καί σεο πιαλέης δάπεδον πλησθήσεται ὥρης.
Οὔρεα θηροκόμοιο γενοίατο πίον' ἐρήμου,
Ἀμφιβάλοιντο δὲ χάρμα μετήοροι ὑψόθι βουνοί·
Οἰῶν εἰροπόκων βεβριθότες εἰσὶ (46) τοκῆες,
Καὶ κοῖλαι φορέοιεν ἅλις ζωαρκέα σῖτον·
Εὐφορίην βασιλῆος ἀνυμνήσειαν ἅπαντες.

ΨΑΛΜΟΣ ΞΕ'.

Εἴ τις ανεγρομενων νεκύων σκέψαιτο βιώνην,
Κλῆσις πῶς Βασιλῆος ἐφημοσύνῃσιν ὀπηδεῖ,
Οὐ μάλα θαυμάσει· τόδε γὰρ τέλος οἶδεν ἀοιδή.
Πέμπτον ὁμοῦ τόδ' ἔφυ καὶ ἑξηκοστὸν ἄεισμα.
Πᾶσα χθών, βασιλῆϊ Θεῷ ἀλαλάξατε μολπήν·
Οὔνομα δ' εὐκελάδῳ κιθάρῃ φορμίζετε θεῖον,
Εὐφήμοις θεοτερπὲς ἀείσατε κῦδος ἐπ' ἔργοις.
Εἴπατε· Σεῖο Θεῷ τελέθει μάλα θέσκελα ἔργα.
Δυσμενέες ψεύσαιντο (47) τεὴν περιώσιον ἀλκήν.
Μέλψατέ μοι, χθὼν πᾶσα, Θεὸν ἰδὲ γουνάζεσθε·
Ἡδέα μελπόντων, Βασιλεῦ, τεὸν οὔνομα πάντες
Δεῦτε, φίλοι, μεγάλοιο Θεοῦ κλυτὰ λεύσσετε ἔργα·
Ἄσχετος ἐν βουλῇσιν ὑπὲρ μεροπηΐδα φύτλην·
Κεκλόμενος πόντον τραφερὴν μετεπήξατο γαῖαν,
Καὶ ποταμοὺς κελάδοντας ἐθήκατο ποσσὶ κελεύθους.
Κεῖσ' ἅμα γηθήσαιμεν ἐπ' ἀθανάτῳ Βασιλῆϊ,
Κάρτεϊ νωλεμέως σφετέρῳ μεδέοντι καὶ ἀλκῇ.
Φῦλα βροτῶν Βασιλῆος ἐποπτεύουσιν ὀπωπαί.
Μὴ μέγα μοι φρονέοιεν ὅσοις πολύπικρος ἐρωή.
Εὐφήμοις μελέεσσι Θεὸν κελαδήσατε, δῆμοι,
Οὔασι δεχνύμενοι σφετέρην ἀρήκοον αὐδήν.
Ὅς τ' ἐμὸν ἦτορ ἔθηκεν ὅπως ζωοῖσι μετείη,
Ἴχνος ἐμῶν ἐν πᾶσι ποδῶν ἀδόνητον ἐρείδων.

Ἡμέας ἐφράσθης, Βασιλεῦ, πολυφράδμονι βουλῇ,
Εὖ διαγινώσκων ἅπερ ἄργυρον ἐν πυρὶ χαλκεύς.
Ἐν δὲ λίνῳ δολόεντι καὶ οὐκ ἐθέλοντας ἔρυκες·

Ἡμετέρων καθύπερθεν ἐθήκαο κήδεα νώτων.
Ἡμετέρης κεφαλῇσιν ἐπεστηρίξαο φῶτας.
Ὕδωρ καὶ φιλογεροῖο πυρὸ, διέβημεν ἐρωήν,
Ἐς δ' ἀνάπαυμα νέης ἐξήγαγες ἡμέας ὥρης.
Δῶμα τεὸν θυέεσσιν ἱκοίμεθα καρφομένοισιν·
Εὐχωλὰς προτέρης μευ ὑποσχεσίης ἀποτίσω.
Ἃς καὶ τειρόμενός περ ἔφην τὸ πρόσθε τελέσσαι,
Θύματα μυελόεντα πυριφλεγέθοντα κομίσσω·
Εἰροπόκους κριούς τε, μύρου τ' εὐώδεα καπνόν,

Ἀμφὶ δὲ χιμάρροισι βόας κεραελκέας οἴσω.
Κέκλυτέ μευ, ξύμπαντες ὅσοι δειμαίνετ' Ἄνακτ.
Ὅσσ' ἀγάθ' ἡμετέρῳ τεκτήνατο μυρία θυμῷ.
Ἀθάνατον βοάασκον ὑπὸ γλώσσης ἀναείρων·
Εἰ δ' ἴδον ἐν πραπίδεσσιν ἐμαῖς ἀθεμίστιον ὕβριν,

(46) Εἰσί. Forte. εἶεν. Edit.

A Posuisti vero divitem bonis prægnantem fructibus.
Immortalis flumen crebris gravescit fluentis,
Et ipsis ut Deus cibum donasti paratum.
Frugiferos lætifica, Rex, tuæ sulcos terræ;
Vivax vero ei solum ducat multiplicem fructum:
Cœli irrorationibus lætabitur germinans.
Tuæ, Rex, benignitatis anni coronam laudes,
Et tuum pingui solum replebitur maturitate.
Montes feras nutrientis fiant pingues deserti,
Induant vero lætitiam sublimes in alto colles:
Ovium lanigerarum abundantes sunt parentes,
Et valles ferant satis vitale frumentum:
Fertilitatem regis celebrent omnes.

PSALMUS LXV

*Si quis existatorum mortuorum consideret vitam,*
B *Appellatio quo pacto Regis mandata sequitur,*
*Non valde mirabitur: hunc enim finem novit cantus:*
*Quintum simul illud est et sexsagesimum carmen.*
Omnis terra, regi Deo jubilate cantum:
Nomen vero canora cithara celebrate divinum,
Speciosis Deo gratum canite decus in operibus.
Dicite: Tui Deo sunt valde divina opera:
Inimici mentiantur tuæ excellenti potentiæ.
Canite mihi, terra omnis, Deum et adorate:
Suaviter celebrent, Rex, tuum nomen omnes.
Venite, chari, magni Dei inclyta videte opera:
Invictus in consiliis super mortalem generationem
Jubens mare siccam coagulavit in terram,
Et flumina resonantia posuit pedibus vias.
Ibi lætemur in immortali Rege,
Fortitudine semper sua dominante et virtute.
C Genera mortalium Regis respiciunt oculi.
Ne magnum mihi sapiant quibus aspera vis.
Faustis carminibus Deum celebrate, populi,
Auribus excipientes suam obedientem vocem.
Quique meum cor posuit ut vivis annumeretur,
Vestigium meorum in omnibus pedum immotum [ firmans.
Nos considerasti, Rex, prudenti consilio.
Probe examinans velut argentum in igne aurifex.
In laqueum vero dolosum etiam non volentes in- [ duxisti:
Nostra super posuisti dolores dorsa.
Nostris capitibus corroborasti viros,
Aquam et æstuantis ignis transivimus impetum,
In refrigerium vero novi eduxisti nos decoris.
D Domum tuam sacrificiis veniamus siccis:
Preces prioribus meis promissis persolvam:
Quas etiam afflictus quidem dixi antea perficere,
Sacrificia medullata incensa offeram.
Lanigeros arietesque, pigmentique fragrantem fu- [ mum
Cum hircis vero boves cornigeras offeram:
Audite me, omnes qui timetis Regem,
Quanta bona nostro paravit innumera animo.
Immortalem invocabam sub lingua exaltans:
Si autem aspexi in præcordiis meis iniquam con- [tumeliam,

(47) Ψεύσαιντο. Forte, ψαύσαιντο, *tangant*. Edit.

Nostrum ne sermonem Rex clamantis audiat.
Propterea nostram omnia lustrans audivit vocem,
Nec a mea supplicatione suum avertit vultum.
Laudandus qui misericordiam et meam non rejecit precem.

## PSALMUS LXVI.

*Canoræ citharæ regius hymnus est,*
*Sexagesimum simul etiam carmen sextum habens.*
Nostri miserearis, Rex, clementi consilio,
Nobis vero tuum clarum illumines vultum,
Et tuam in terra cognoscamus viam :
Gentibus vero alienigenis salutare tuum lumen.
Tuum decus celebrabunt, Beate summe, populi
Tuum decus celebre omnibus populis curæ sit.
Gentes tibi lætentur exsultantes cantibus :
Quoniam in æquitatibus judicabis mortalem generationem,
Gentibus vero præeas amicam per terram iter facere.
Tuum decus laudabunt, Beate summe, populi :
Tuum decus celebre omnibus populis curæ sit.
Fructum germinavit suum alma tellus :
Noster Deus nobis præbeat gratissimam laudem,
Laudem Rex, præbeat nobis : metuant vero eum fines terræ.

## PSALMUS LXVII.

*Davidis prudentis carminum mærens hymnus,*
*Sexagesimum habens septimumque locum.*
Immortalis exsurgat, dispersionem vero hostibus immittat :
Inimici vero longe a suo fugiant conspectu :
Sic valde deficiant impotens velut fumus,
Ut vero cum colliquescens fervido igne cera tabescit.
Sic sanctorum pereant a palpebris peccatores :
Sed tibi exsultent justitiæ sacerdotes viri,
Semper divinis gaudentes coram oculis,
Ex animo dulcibus læti gaudiis.
Cantate Regem, et nomen celebrate divinum :
Parate viam gratam super occasum ascendenti.
Æternus, æternus ille, Rex vero ipsi nomen est,
Et ipsi divina prope gaudeat facie.
Omnes conturbentur sui proptor terrorem vultus,
Viduarum præsidis, et orphanorum patris.
Purus fundamentis in puris curæ est.
Ipse unimoribus largitur domos habitare,
In robore vero vinctum gregem solvit,
De sepulcris vero defunctos vita ad lumen educit.
Cunctare, quomodo antea, Rex præfuisti populis?
Quomodo aliquando gloriosum solum assecutus est deserti ?
Terra quidem tota commota est, distillabat vero cœlum splendidum :
Coram Deo in Sina supplex solum audiat,
Coram Deo rege, qui Israelem firmat.
Pluviam bonam ultro, Rex, terræ tuæ mittas.
Etenim confirmasti putantem interire,
Et eam genera tui gregis incolunt.
Pauperi benignitatis adjutor venisti paratus.

A Νωΐτερον μὴ μῦθον Ἄναξ βοόωντος ἀκούσαι.
Τοὔνεκεν ἡμετέρην Πανεπίσκοπος ἔκλυεν αὐδὴν,
Οὐδέ μευ ἱκεσίης σφετέρην ἔστρεψεν ὀπωπὴν
Αἰνετὸς ὅς ῥ' ἔλεον καὶ ἐμὴν οὐκ ἤλασεν εὐχήν.

## ΨΑΛΜΟΣ ΞϚʹ.

Εὐκελάδου κιθάρης βασιλήιος ὕμνος ἐτύχθη,
Ἑξηκοστὸν ὁμοῦ καὶ μέλος ἕκτον ἔχων.
Ἡμέας οἰκτείρειας, Ἄναξ, ἐλεήμονι βουλῇ,
Ἄμμι δὲ σὴν ἀρίδηλον ὑπερλάμψειας ὀπωπὴν,
Ὄφρα τεὴν κατὰ γαῖαν ἐπιφρασόμεσθα κέλευθον·
Ἔθνεσι δ' ἀλλοδαποῖσιν, ἀλεξίκακόν σεο φέγγος.
Σὸν κλέος ὑμνήσουσι, Μάκαρ πανυπέρτατε, λαοί·
Σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
Ἔθνεά τοι κεχαροίατ' ἀγαλλόμενα μολπῇσιν·
Οὕνεκεν εὐδικίῃσι κρινεῖς μεροπηίδα φύτλην,
B Ἔθνεσι δ' ἡγήσαιο φίλην μετὰ γαῖαν ὁδεύειν.
Σὸν κλέος αἰνήσουσι, Μάκαρ πανυπέρτατε, λαοί·
Σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
Καρπὸν ἀνεβλάστησεν ἑὸν φυσίζοος αἶα·
Ἡμέτερος Θεὸς ἄμμι πόροι χαριέστατον αἶνον,
Αἶνον Ἄναξ πόροι ἄμμι· τρέσοι δὲ ἑ πείρατα γαίης

## ΨΑΛΜΟΣ ΞΖʹ.

Δαυΐδου πινυτοῦ μελέων βεβολημένος ὕμνος,
Ἑξηκοστὸν ἔχων ἑβδόματόν τε τόπον.
Ἄφθιτος ἀνστήτω, σκέδασιν δ' ἐχθροῖσιν ἐνήσοι·
Δυσμενέες δ' ἀπάνευθεν ἑῆς προφύγοιεν ὀπωπῆς·
C Ὧδε μάλ' ἐκλείποιεν ἀμήχανος ἠύτε καπνός.
Ὡς δ' ὅτε τηκόμενος φλογερῷ πυρὶ κηρὸς ἀμερθῇ,
Ὡς ὁσίων ἀπολοίατ' ἀπὸ βλεφάροισιν ἀλεῖται·
Ἀλλά τοι εὐφραίνοντο δίκης ὑποφήτορες ἄνδρες,
Αἰεὶ θεσπεσίων κεχαρηότος ἀντίον ὄσσων,
Ἐκ θυμοῦ γλυκερῇσι γεγηθότες εὐφροσύνῃσιν.
Ἄσατε τὸν Βασιλῆα, καὶ οὔνομα μέλψατε θεῖον·
Τεύξαθ' ὁδὸν χαρίεσσαν ὑπὲρ δύσιος βεβαῶτι.
Ἄφθιτος, ἄφθιτος οὗτος, Ἄναξ δέ οἱ οὔνομ' ἐτύχθη,
Καί οἱ θεσπεσίοιο πέλας κεχάροιτο προσώπου
Πάντες ὀρινέσθωσαν ἑῆς διὰ τάρβος ὀπωπῆς,
Χηρῶν ἡγεμόνος καὶ ὀρφανικῶν γενετῆρος.
Ἄχραντος δαπέδοισιν ἐπ' ἀχράντοισι μέμηλεν.
Αὐτὸς μουνοτρόποισι χαρίζεται οἰκία ναίειν,
D Ἐκ δ' εὐηνορίης πεπεδημένον ἑσμὸν ἔλυσεν,
Ἐκ δὲ τάφων φθιμένοις βιοτῆς μετὰ φέγγος ἀγινεῖ.
Ἄββαλε, πῶς τὸ πάροιθαν, Ἄναξ, ἡγήσαο λαῶν ;
Πῶς ποτε κυδῆεν δάπεδον μεθέπεσκεν ἐρήμου ;
Χθὼν μὲν ὅλη δεδόνητο, κατείβετο δ' οὐρανὸς αἴθων·
Ἄντα Θεοῦ Σιναόνδε πολύλλιτον οὖδας ἀκούοι,
Ἄντα Θεοῦ βασιλῆος, ὃς Ἰσραῆλον ἐρείδει.
Ὑετὸν ἐσθλὸν ἑκὼν, Βασιλεῦ, χθονὶ σεῖο προπέμποις.
Καὶ γὰρ ἀνεστήριξας διομένην ἀπολέσθαι,
Καί μιν φῦλα τεῆς ἀγέλης περιναιετάουσι.
Πτωχῷ μειλιχίης ἐπιτάῤῥοθος ἦλθες ἑτοῖμος.

Καρτερὰ σημαίνουσιν Ἄναξ ἔπος ἰθύνειε,
Τηλυγέτου σθενέων ἡγούμενος υἱέος Ἐσσὴν,
Υἱέος ὃς διὰ σκῦλα δόμου μοιρήσεται ἐσθλῷ·
Εἴκεν μεσσάτιοι κλήρων κατακοιμηθῆτε,
Ἀργύρεα τρήρωνος ὅπως πτερὰ καλὰ πλείης,
Ἧς χλωρὴ χρυσοῖο μετάφρενον ἀμφέβαλ' ὥρη,
Ἀθανάτου πέμποντος ἑοὺς βασιλῆας ἐπ' αὐτῇ.
Ἐν Σελμῶνι χιὼν σφέτερον δέμας ἀμφικαλύπτει·
Θεῖον ὄρος πολυανθὲς ἄρος μάλα πῖον ἐτύχθη,
Πῖον ὄρος, πηχθέντι πανείκελον ἔπλετο τυρῷ.
Τίπτε μοι οὔρεα πάντα δοκεύετε τυρώεντα ;
Τοῦτ' ὄρος, ἧχι Θεὸς καταθύμια δώματα ναίει·
Κεῖσε μάκαρ κλισίην σθεναρὴν ἑὸ πάντοτε πήξει.
Μυρίον ἅρμα Θεοῦ, πολέες δὲ ἐπ' αὐτὸ χορευταί.

Ἔνθα Μάκαρ Σινάοιο μετ' ἀχράντοιο θεμέθλοις,
Ὑψοῦ ἀειρόμενος, ληίσατο ληίδα πολλήν·
Αὐτὰρ ὁ δωτίνας μεροπηίδος εἷλε γενέθλης·
Καὶ γὰρ ὑπερβασίῃ περιναιέμεν ἠρνήσαντο.
Αἰὲν Ἄναξ ἀγαθὸς καὶ ὑπέρτατος αἰνετὸς ἔστω,
Αἰνετὸς αἰὲν Ἄναξ κεκλήσεται ἦμαρ ἐπ' ἦμαρ.
Φέγγεος ἡμετέροιο διαμπερὲς ἡγεμονεύει.
Ἔργον ἐμῷ Βασιλῆι πέλει χατέουσιν ἀρήγειν.
Μοῦνος Ἄναξ δεδάηκε καὶ ἐκ θανάτοιο σαῶσαι.
Ἔμπα γε μὴν σφετέρων δηίων θραύσειε κάρηνα,
Ἀκροκόμον κορυφὴν, οἷς ἐν φρεσὶ θυμὸς ἀλείτης.

Εἶπεν Ἄναξ Βασάνηθεν· Ἐπιστρέψαιμι πεποιθὼς,
Αὖθις ὑπ' ἀτρυγέτοιο (48) παλίσσυτος εἶμι θαλάσσης·
Ὄφρα τεὴν τέγξειας ἀκήρατον αἵματι πέζαν·
Ἀντιβίων σέο γλῶσσα κυνῶν σέθεν ἠδὲ οἱ αὐτοῦ·
Ἀμφαδίην, Ἄχραντε, τεὰς βροτοὶ εἶδον ἀταρποὺς,
Ἴχνια τοῦ Βασιλῆος ὑπ' εὐαγέεσσι (49) θοώκοις.
Ἆσσον ἀειδόντων μετεκίαθον ἡγεμονῆες,
Μελπομένων τυπάνοισι μέσοι διὰ παρθενικάων.
Πιστὸν ἐνὶ κλισίῃσι φίλον κελαδήσατ' Ἄνακτα,
Ἄφθιτον ἐκ πηγέων ἀγανόφρονος Ἰσραήλου.
Κεῖσε Βενιαμίνη δὲ μεταχρονίη πέλεν ἥβη·
Τῶν δ' ἔσαν ἡγητῆρες ὅσοι πάρος ἦρχον Ἰούδα,
Ζαβουλῶνος ὁμοῦ πρόμαχοι καὶ Νεφθαλίμοιο.
Κάρτεϊ τιμήεντι τεῷ ἐπιτέλλεο, Ποιμήν.
Ἄμμι τόπερ τέκτηνας ἐϋστάθὲς ἄλκαρ ἐρείδοις.
Εὐαγὲς ἐκ νηοῖο μετεσσύμενοι τεὸν ἄστυ,
Δῶρα πολυκλήεντι Θεῷ βασιλῆες ἀγέσθων.
Θηρσὶν ὀρεσσικόμοις δόνακος τρήχυνον ὁμοκλήν.
Δημοτέρας δαμάλας μετανίσσεται ἔθνεα ταύρων,
Ὄφρα κεν ἐξείργοινθ' οἷς ἀμφαδὸν ὦνος ἐτύχθη.
Φῦλα βροτῶν, Ἄχραντε, φιλοπτολέμων κεδάσειας.

Λισσόμενοι σπεύσουσιν ἀπ' Αἰγύπτοιο πολήων·
Χεῖρας δ' Ἀθανάτῳ τανύσει γένος Αἰθιοπήων.
Κοιρανίαι, Βασιλῆα λιγαίνετε πάντοθεν αἴης,
Εὐκελάδῳ κιθάρῃ φορμίζετε Ποιμένα κόσμου.
Μέψατε ἀντολίης πόλον ἐκ πόλου ἐμβεβαῶτα.
Αἶνον ἀποφθέγξοιντο φίλον ζωαρκέϊ φωνῇ.
Κῦδος ἀπειρέσιον κελαδήσατε Παμβασιλῆι,
Αἰὲν ἐπ' Ἰσραῆλον ἔχει (50) μεγαλοπρεπὲς εὖχος,

(48) Ὑπ' ἀτρυγέτοιο. Forte, ἀπ' ἀτρ. EDIT.
(49) Ὑπ' εὐαγέεσσι. Forte, ἐπ' εὐαγ. EDIT.

A Fortiter nuntiantibus Rex verbum dirigat,
Unici virtutum dux filii Rex,
Filii qui spolia domus dividet bono :
Si forte medii clerorum dormiatis,
Argenteæ columbæ ut penæ pulchræ liviæ,
Cujus crocea auri dorsum induebat species,
Immortalis mittentis suos reges in ipsam.
In selmone nix suum corpus circumtegit :
Divinus mons, floridus mons xalde pinguis est,
Pinguis mons, coagulato persimilis erat caseo,
Quare mihi montes omnes observatis coagulatos ?
Hic mons, ubi Deus gratissimas domos habitat :]
Ibi beatus tabernaculum forte suum semper figet.
Multiplex currus Dei, multi vero super ipsum sal-
[ tatores.

B Ibi Beatus Sinai inter puri fundamenta,
Alte elevatus, prædatus est prædam multam :
Cæterum ipse dona mortalis accepit generationis :
Etenim contemptu habitare recusarunt.
Semper Rex bonus et summus laudabilis esto,
Laudabilis semper Rex vocabitur die super die.
Lucis nostræ perpetuo dux est.
Opus meo Regi est carentibus opitulari.
Solus Rex novit etiam a morte servare.
Verumtamen suorum hostium confringat capita,
Longicomum verticem, quibus in animis cor pec-
[ cans.

Dixit Rex de Basan : Convertam confisus,
Rursum de sterili recedens ibo mari :
Ut tuum tingas purum sanguine pedem :
Inimicorum tuorum lingua canum tuorum et ipsi ibi.
C Palam, Incontaminate, tuas mortales viderunt vias,
Vestigia Regis in sanctis sedibus.
Proprius cantantium accesserunt duces.
Canentium tympanis medii inter virgines.
Fidele in caulis charum resonate Regem.
Immortalem de fontibus mansueti Israelis,
Ibi Benjamin autem diuturna erat pubertas :
Horum vero erant duces qui antea imperabant Juda
Zabulonis simul principes et Nephtalim.
Robori honorato tuo manda, Pastor
Nobis quod fecisti firmum præsidium stabilias,
Sacram a templo adorti tuam urbem,
Munera clarissimo Deo reges adducunto.
Feris montanis arundinis exaspera clamorem.]
Populares vacas inibunt nationes taurorum,
D Ut excludantur quibus palam pretium est.
Genera mortalium,Immaculate, bellicosorum dis-
[ sipes.

Supplices festinabunt ex Ægypti urbibus :
Manus vero immortali extendet genus Æthiopum.
Dominationes, Regem canite undique terræ,
Canora cithara canite Pastorem mundi.
Celebrate orientis polum a polo ascendentem.
Laudem pronuntiet charam vivifica voce.
Decus immensum resonate Domino,
Semper super Israel habet claram gloriam,

(50) Ἔχει. Forte, ἔχοι, EDIT.

Et robur æthereis simul nubibus admirabile.
Immortalis mirus suis sanctis gratus est.
Virtutem vero et robur bonum Rex præbeat Israeli:
Semper Dominus inclytus laudabilis esto.

## PSALMUS LXVIII.

*Davidis cordis hymnus invicem respondentis,*
*Sexagesimum habens octavumque carmen.*

Ab aquis me serva, Rex, quæ meum circumdant cor,
Fundo in cœnoso infixus vita careo.
Versantem ponti profundo me demersit procella.
Exiliter clamantis meum exasperabatur guttur.
Perdidi lumen, regem Deum observans oculis:
Qui me frustra oderunt, meis plus sunt capillis.
Quosque inique timebam infestos, fortes sunt.
Temere raptum, quod non didici, ipse exsolvi:
Nosti, Rex, quæ patravi stultitiis meis,
Neque a tuo absconsæ sunt stoliditates meæ conspectu.
Nunquam, Rex, capiat dedecus quibus Deus opus videri,
Neque Deum desiderans aliquis vir vituperabilis audiat.
Propter te Regem probra sustinuimus:
Sustinebo, si forte rubor meum corpus circumtegat.
Extraneus factus sum, et meis mendicus fratribus
Et peregrinus dulcis et prudentis filiis matris.
Quoniam exedens me tuæ cura cepit domus:
Tuorum vero conviciis meam mentem mordeor hostium.
Jejunii laboribos infregi animum meum,
Et quod ego jejunarem in probra parabant:
Peplum meum gratiosum posui velut lugubre indumentum:
Verum et sic factus sum suis linguis sermo:
De me canebant sedentes pro foribus,
In me vero psallebant satis gravati vino.
Sed ego vocabam te semper obsecrans:
Tempus, Rex, cum sane mihi ultro palam aderis.
Exaudi tuæ misericordiæ permulta vehementia:
Tuæ vero veritatis mihi, Rex, magnam lucem præbeas:
De luto me serva ut lacunam effugiam.
Libera ab infestis me, Beate, profundisque fluentis:
Ne forte aliquando aquosus deglutiat turbo,
Neque me triste submersum profundum intus corripiat·
Neque me circumdet suum os puteus ingens.
Exaudi benignitate ferens misericordem animum:
Multitudine vero miserationum omnia lustrantem oculum extendas:
Ne aliquando a me tuo puero avertas faciem,
Velociter oppressum, Beate supreme, exaudias,
Oculis nostrum omnia intuentibus animum prohibeas.
Propter nostros inimicos, Rex, me serves:
Nosti enim dedecus meum et improperia, et magnum ruborem.

A Καὶ σθένος αἰθερίησιν ὁμοῦ νεφέλησιν ἀγητόν.
Ἀθάνατος θηητός ἑοῖς ὁσίοισι μεμηλώς.
Ἀλκὴν καὶ σθένος ἐσθλὸν Ἄναξ πόροι Ἰσραήλῳ
Πάντοτε Παμβασιλεὺς ἀριδείκετος αἰνετὸς ἔστω.

## ΨΑΛΜΟΣ ΞΗ'.

Δαυΐδου κραδίης ὕμνος ἀμειβομένης.
Ἑξηκοστὸν ἔχων ὀγδόατόν τε μέλος.

Ἐξ ὑδάτων με σάω, Βασιλεῦ, τά μευ ἄμφεπεν ἦτορ.
Βύσσῳ ἐν ὑλήεντι παγεὶς βιότοιο χατίζω.
Νισσόμενον πόντοιο βυθῷ κατά μ' εἷλε καταΐξ.
Καρφαλέως βοόωντος ἐμὸς τρηχύνετο λαιμός.
Ὤλεσα φέγγος ἄνακτα Θεὸν δεδοκημένος ὄσσοις·
Οἵ με μάτην στυγέοντες ἐμῶν πλέον εἰσὶ κομάων.
Οὕς τ' ἀδίκως τρομέεσκον ἀπεχθέας, ἄλκιμοί εἰσιν.
Ἀφραδέως ἅρπαγμα, τὸ μὴ μάθον αὐτὸς ἔτισα.
B Οἶδας, Ἄναξ, ὅσ' ἔρεξα χαλιφροσύνῃσιν ἐμῇσιν,
Οὐδὲ τεῆς ἔκρυφθεν ἀτασθαλίαι μευ ὀπωπῆς.
Μήποτ', Ἄναξ, ἕλοι αἶσχος ὅσοις Θεὸς ἔργον ὁρᾶσθαι.
Μηδὲ Θεὸν ποθέων τις ἀνὴρ, μωμητὸς ἀκούσῃ.
Εἵνεκα σοῦ Βασιλῆος ὀνείδεα τετλήκαμεν·
Τλήσομαι, εἴκεν ἔρευθος ἐμὸν ῥέθος ἀμφικαλύψῃ.
Ἀλλοδαπὸς γενόμην, καὶ ἐμοῖς ἄκληρος ὁμαίμοις.
Καὶ ξεῖνος γλυκερῆς καὶ ἐνηέος υἱάσι μητρός
Οὕνεκα δαρδάπτων με τεοῦ πόνος εἷλε μελάθρου·
Σεῖο δ' ἐπεσβολίῃσιν ἐμὴν φρένα δάκνομαι ἐχθρῶν.
Νηστείης καμάτοισι κατέκλασα θυμὸν ἐμεῖο,
Καὶ τό με νηστεύειν ἐπ' ὀνείδεσι τεκταίνοντο.
C Πέπλον ἐμὸν χαρίεντα θέμην ἅτε πένθιμον εἷμα·
Ἀλλὰ καὶ ὡς γενόμην σφετέρῃς γλώσσῃσι λάλημα·
Ἀμφ' ἐμέθεν μέλποντο καθεζόμενοι πρὸ πυλάων,
Εἰς δ' ἐμὲ φορμίζεσκον ἄλις βεβαρητότες οἴνῳ.
Αὐτὰρ ἐγὼ κάλεόν σε, διηνεκέως λιτανεύων·
Καιρὸς, Ἄναξ, ὅτε δή μοι ἑκὼν ἀναφανδὰ παρείης.
Κλῦθι τεῆς ἐλεημοσύνης παμπληθεῖ ῥοίζῳ·
Σεῖο δ' ἀληθείης μοι, Ἄναξ, μέγα φέγγος ὀπάζοις·
Ἐκ πηλοῦ με σάωσον, ὅπως διὰ τέλμα φύγοιμι.
Ῥύεο δυσμενέων με, Μάκαρ, βυθίων τε ῥεέθρων.
Μή κέ (51) ποθ' ὑδατόεσσα καταβρώξειε καταΐς,
Μηδέ με λευγαλέως βρύχιον βυθὸς ἔνδοθι μάρψῃ.
D Μηδέ με ἀμφιβάλῃσιν ἑὸν στόμα βόθρος ἀπείρων.
Κέκλυθι μειλιχίῃ φορέων οἰκτίρμονα θυμόν.
Πλήθεϊ δ' οἰκτιρμῶν πανεπίσκοπον ὄμμα τιταίνοις·
Μή ποτέ μοι (52) σέο παιδὸς ἀποστρέψειας ὀπωπὴν,
Αὐτίκα τειρομένοιο, Μάκαρ πανυπέρτατ', ἀκούσαις·
Ὄμμασι νωΐτερον πανδερκέσι θυμὸν ἐρύκοις.
Οὕνεκεν ἡμετέρων δηΐων Βασιλεῦ με σαώσοις·
Οἶσθα γὰρ αἶσχος ἐμὸν καὶ ὀνείδεα καὶ μέγ' ἔρευθος.

(51) Μή κε. Forte, μή με. Edit.

(52) Μοι. Forte, μευ. Edit.

Ἄντα σέθεν σύμπαντες ἐμῇ μεμελημένοι ἄτῃ.
Μῶμον ἐμὸς λώβην τε μετὰ φρεσὶν ἔλπετο θυμός.

Οὐδέ μοι ἀλγεινοῖσιν ὁμήγορος ἤλυθεν ἀνήρ
Οὐδ' εὗρον πόθεν ἄμμι πέλει παραμύθιον ἄτης.
Βρώματι νωιτέρῳ θυμοφθόρον ἔμβαλον ἰόν,
Καί μοι διψαλέῳ θανατηφόρον ὤπασαν ὄξος.
Τοῖσι λίνον τεύχοιτο πολύπλοκον ἀντὶ τραπέζης,
Θήρη καὶ δολόεσσα πάγη καὶ μισθὸς ἐπ' ἔργῳ·
Σφωιτέρην κακότεχνον ἀποσβέσσειας ὀπωπήν,
Καί σφεων ἠνεκέως καμάτῳ κατὰ νῶτα δαμάσσοις·
Καδδὲ κότον βαρύμηνιν ἐπὶ σφίσι πάντοτε τεύχοις,
Καί σφεας ἀμφιβάλοι θολερῆς σεο μήνιδος ὁρμή.
Ἔστω πουλυβότειρα μετὰ σφίσιν αὖλις ἐρήμη,
Μηδέ τις ἐν μεγάροισιν ἑοῖς ναετῆρα κιχάνοι.
Οὕνεκεν ὅν ῥ' ἐπάταξας (53) ἅλις ποθέεσκον ἐκεῖνοι,
Πληγῇς ἡμετέρῃσι καὶ ἄλγεσιν ἄλγεα θέντες.
Ἀμπαλακίην ἐπίραψον ἐπ' ἀμπλακίῃσιν ἑῇσι·
Μηδὲ δικαιοσύνῃ πίσυνοι σέο θῶκον ἵκεσθων.
Θᾶσσον ἀποσμήχοιντο φερεζώων ἀπὸ βίβλων·
Μηδέ ποτ' εὐδικίης ναέταις ἐναρίθμιοι εἶεν.
Πτωχὸς ἐγὼ τελέθω, καὶ κήδεα μυρία πέσσω·
Ἀλλ' ἴσχω Βασιλῆος ὑπέρμαχον ἄλκαρ ὀπωπῆς.
Αἰνετὸν οὔνομα θεῖον ἀνυμνήσαιμι χορεύων,
Καί μιν ἀνυψώσαιμι διαμπερὲς αἰνετὰ μέλπων.
Ἡβητὴν δ' ἀρέσειεν ὑπὲρ μόσχον Βασιλῆι,
Ὅς νέον ἡβώῃ πίσυνος κεράεσσι καὶ ὁπλαῖς,
Πτωχοῦ δερκομένοιο νόος πραπίδεσσι χαρείη.
Ποιμένα δίζεσθε ψυχέων βιότοιο δοτῆρα·
Οὕνεκεν ἀθάνατος Βασιλεὺς ὑπάκουσε πενιχροῦ·
Οὐδ' αὔτως μεθέηκε κακοῖς πεπεδημένον ἄνδρα.
Οὐρανοὶ ἀμφί τε γαῖα χορευόντων Βασιλῆι,
Πόντος ἀπειρέσιος, καὶ ὅσα τρέφει οἶδμα θαλάσσης·
Οὕνεκεν ἀθάνατος Βασιλεὺς Σιῶνα σαώσει·
Ἄστεα δ' ἀνστήσειεν Ἰουδαίης ἐρατεινῆς·
Καί μιν ναιετάοντες, ὅλην κτησαίατο κλήροις·
Καὶ δμώων σφετέρων γενεὴ σύμπασαν ἐρύξει (54).
Ἀμφαγαπαζομένοισι περικτιόνεσσι μελέσθω.

## ΨΑΛΜΟΣ ΞΘ'.

Τὸν πάντα γινώσκοντα μιμνήσκων Θεὸν
Δαυΐδος εἶπεν· Σῶζε δή με, Δέσποτα.
Ὁ δ' ὕμνος ἑξηκοστὸς ἔνατος τυγχάνει.

Ἄφθιτε, νωιτέρην σκοπιάζεο πάντοτ' ἀρωγήν.
Αἶσχος ἕλοι δ' ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι

Στρεφθείη μωμητὸς ὅ μοι κακὰ βυσσοδομεύων·
Αὐτίχ' ἕλοι τοὺς δ' αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ.
Χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·
Πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,
Ὁσσάτιοι ποθέουσιν ἀλεξίκακόν σεο φέγγος.
Ἄλγος ἀλεξήσαις πτωχοῦ, Μάκαρ, ἠδὲ πενιχροῦ
Μήποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

## ΨΑΛΜΟΣ Ο'.

Παῖδες Ἰωναδάφου μεγαλήτορος, οἷς τὸ πάροιθεν
Ἐνναέται Βαβυλῶνος ἄφον κάτα δούλιον ἦμαρ,
Ἑβδομάτης δεκάδος λιγυρὸν μέλος ἐντύναντο.
Νή με καταισχύνειας, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης·

A Coram te omnes meam procurantes perniciem.
Vituperationem meus contumeliamque in mentibus
[speravit animus.
Neque mihi dolorificis condolens venit vir;
Neque reperi unde nobis sit levamen miseriæ.
Escæ nostræ perniciosum immiscuerunt venenum,
Et mihi sitibundo mortiferum dederunt acetum.
Ipsis rete fiat sinuosum pro mensa,
Captura et dolosus laqueus et merces propter opus:
Suum maleficum exstinguas aspectum,
Et eorum semper labore dorsa domes:
Iram vero gravem in ipsos semper effundas,
Et eos circumdet turbidæ tuæ iræ impetus.
Fiat multos aiens inter ipsos mansio vacua,
Neque quis in palatiis suis habitatorem reperiat:
B Quoniam quem percussisti satis inquisierunt illi,
Plegis nostris et ærumnis ærumnas addentes.
Scelus assue super scelera sua:
Neque justitia freti tuam sedem ingrediantur.
Ocius expungantur vitalibus a libris:
Neque unquam justitiæ incolis numerati sint.
Pauper ego sum, dolores varios concoquens:
Verum habeo Regis vindicem auxilium vultus.
Laudabile nomen divinum celebrem exsultans,
Et ipsum exaltem semper laudabilia canens.
Puberem vero placeat super vitulum Regi
Qui primum pubescat fretus cornibus et ungulis.
Pauperis videntis animus in præcordiis lætetur.
Pastorem quærite animarum vitæ datorem:
Quoniam immortalis Rex exaudivit pauperem:
Neque temere deseruit malis compeditum virum.
C Cœli circumque terra tripudient Regi.
Mare immensum, et quæ nutrit tumor maris
Quoniam immortalis Rex Sionem servabit,
Civitates vero reparet Judææ amabilis:
Et ipsam habitantes, totam possideant sortibus:
Et servorum suorum generatio universam tenebit.
Diligentibus vicinis provideat.

## PSALMUS LXIX.

*Omnia scientem recordans Deum,*
*David dixit: Serva utique me, Domine.*
*Hic vero hymnus sexagesimus nonus est.*

Immortalis, nostrum observa semper auxilium.
Dedecus capiat vero qui cor meum gestiunt per-
[dere:
D Avertatur vituperabilis qui mihi mala modiens
Statim occupet ignominia meo gaudentes infortunio
Gaudium et lætitia sanctum genus complectatur:
Semper loquantur magnifica dona Dei,
Quicunque cupiunt salutare tuum lumen.
Dolorem arceas mendici, Beate, et inopis.
Ne quando moreris mihi invocanti adesse.

## PSALMUS LXX.

*Filii Ionadaphi magnanimi, quibus antea*
*Incolæ Babylonis attulerunt servilem diem.*
*Septimæ decadis argutum carmen pararunt.*
Ne me confundas, quoniam tu mea spes es.

(53) Ἐπάταξας. Forte, ἐπάταξαν. Edit.

(54) Ἐρύξει. Forte, ἐρύξοι, vel ἐρύξαι. Edit.

Tua, Beate, æquitate cura, et me custodi.
Studiose me serva, inclinans attentam aurem :
Noster Deus esto, commodus scrutator,
Firma velut quædam domus, ubi malum est effugere.
Ipse mea stabilis sedes, et firmum tutamen.
Eripe utique de manu, Rex, malefici viri,
De manu iniqui et injustitiam desiderantis :
Quoniam fiducia mea, Summe, semper es.
Fiducia semper vivens etiam a virescente pubertate.
Tibi confidens ex utero sum matris,
Ipse mihi protectio fuisti charæ in ventre matris.
In te mea, Peroptime, est canora cantio,
Reputatus sum vitæ portentum multis esse,
Sed mihi fortis visus es inter ipsos adjutor.
Plenum mihi gratum carminibus os semper sit,
Ut, Beate, tuum decus immortale celebrem,
Tuam tota die magnificam gloriam canens.
Ne me deseras, Incorrupte, malo in senectutis limine :
Cum robur perdiderim charum, tunc ne me derelinquas :
Quoniam mihi hæc dixerunt improbi et invisi viri.
Animæ nostræ custodes explorarunt coeuntes,
Immortalem dicentes suum famulum deseruisse :
Festinate, et eum comprehendite, quia ipsi nullus adjutor.
Sed tu, Domine, ne me aliqnando seorsum avertaris :
Neqne cæcitatem mei egentis capere.
Dedecus capiat, qui cor meum feriunt malis :
Vituperatio capiat et rubor, qui mala mihi cupiunt.
At ego regi Deo confidens sim,
Et ipsi decorum hymnum adhuc amplius quam antea cantabo.
Nostrum os tuam justitiam dicet :
Tuum tota die lumen immortale celebrabo.
Negotiationis nescius exsistens, etiam expers incommodi,
Fidens in templum ingrediar Immortalis.
Tuæ justitiæ, Rex, recordabor solius.
Ab adolescentia me docuisti quæ fas, immortalis Pastor :
Itaque divina opera etiam usque nunc tua proclamabo.
Ne me senescentem, Beate, canumque deseras,
Donec posteris brachium tuum prædicem,
Tuum robur annuntians et justitiam amabilem :
Altissimorum perfecisti usque magnanima, Pastor.
Quis utique tibi alius similis mihi tot mala concilians ?
Etiam tu rursum conversus, vitæ præbuisti multam vim,
Imo de terræ caliginosæ profundo me revocasti.
Tuam mihi justitiæ immensam effudisti vim,
Et mei, conversus, priorem sanasti morbum :
De fundo terræ caliginosæ depresso me vocasti.
Etenim celebrabo te, Beate, verissimo cantu,
Cantans in cithara immaculatum Israelem.

A Σῇ, Μάκαρ, εὐδικίῃ περικήδεο, καί με φύλασσε.
Ἐμμαπέως με σάω, κλίνας ἀριήκοον οὖας·
Νωίτερος Θεὸς ἔσσο, κατὰ χρέος ἀσπιδιώτης,
Ἔμπεδος οἷά τις οἶκος, ὅπη κακόν ἐστιν ἀλύξαι.
Αὐτὸς ἐμὸν πολύχαλκον ἕδος καὶ εὐσταθὲς ἄλκαρ.
Ῥύεο δὴ παλάμης, Βασιλεῦ, κακοεργέος ἀνδρὸς,
Ἐκ παλάμης ἀδίκου καὶ δυσνομίην ποθέοντος·
Οὕνεκεν ἐλπὶς ἐμὴ, Πανυπέρτατε, αἰὲν ἐτύχθης,
Ἐλπὶς ἀειζώουσα καὶ ἐκ νεοθηλέος ἥβης.
Σοὶ περιθαρσήεις ἐκ νηδύος εἰμὶ τεκούσης,
Αὐτός μοι σκέπας ἦσθα φίλης ἐν γαστέρι μητρός.
Ἐν σοί μευ, Πανάριστε, πέλει φιλόμολπος ἀοιδή
Ὠΐσθην βιότοιο τέρας πολέεσσι τετύχθαι,
Ἀλλά μοι ἀλκήεις ἐφάνης μετὰ τοῖσιν ἀρωγός.
B Πλῆρες ἐμοὶ χάριεν μελέων στόμα πάντοθεν εἴη,
Ὄφρα, Μάκαρ, σέο κῦδος ἀγήραον ὑμνοπολεύσω,
Σεῖο πανημέριον μεγαλοπρεπὲς εὖχος ἀείδων.
Μή με μεθῇς, Ἄχραντε, κακῷ περὶ γήραος οὐδῷ.
Εὖτε βίην ὀλέσαιμι φίλην, τότε μή με μεθείης·
Οὕνεκά μοι τάδ' ἔφαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες.
Ψυχῆς ἡμετέρης φύλακες σκέψαντο μολόντες,
Ἀθάνατον βάζοντες ἑὸν θεράποντα μοθεῖναι·
Σπεύσατε, καί μιν ἕλεσθε, ἐπεί νύ οἱ οὔ τις ἀρωγός.
Ἀλλὰ σὺ, Παμβασιλεῦ, μή μεύ ποτε νόσφι τραπείης·
Μηδ' ἀλαοσκοπίης ἐμέθεν χατέοντος ἑλέσθαι,
Αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν βάλλουσι κακοῖσι·
C Μῶμος ἕλοι καὶ ἔρευθος, ὅσοι κακά μοι φρονέουσιν.
Αὐτὰρ ἐγὼ βασιλῆι Θεῷ περιθάρσυνος εἴην,
Καί οἱ αἰνετὸν ὕμνον ἔτι πλέον ἢ πρὶν ἀείσω.
Ἡμέτερον στόμα σεῖο δικαιοσύνην ἀγορεύσει·
Σεῖο πανημέριον φάος ἄφθιτον ὑμνοπολεύσω.
Ἐμπορίης ἀδάητος ἐὼν καὶ ἐλεύθερος ἄτης,
Θαρσαλέος μετὰ νηὸν ἐλεύσομαι Ἀθανάτοιο.
Σεῖου δικαιοσύνης, Βασιλεῦ, μεμνήσομαι οἴου.
Ἐξ ἥβης μ' ἐδίδαξας ἅπερ θέμις, ἄφθιτε Ποιμήν·
Τοὔνεκα θέσκελα ἔργα καὶ ἐς τόδε σεῖο βοήσω.
Μή μ' ἀπογηράσκοντα, Μάκαρ, πολιόν τε μεθέσῃς,
D Εἰσόκεν ὀψιγόνοισι βραχίονα σεῖο προφήνω,
Σὸν σθένος ἀγγέλλων καὶ εὐδικίην ἐρατεινήν·
Ὑψίστων ἐτέλεσσας ἕως μεγαλαυχέα, Ποιμήν.
Τίς νύ τοι ἄλλος ὁμοῖος ἐμοὶ τόσα κήδεα τεύχων;
Καί με πάλιν στρέψας, βιότου πόρες ἄσπετον ἀλκὴν,
Πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου μ' ἐκάλεσσας.
Σεῖό μοι εὐδικίης περιώσιον ἔβλυσας ἀλκὴν
Καὶ μευ ἐπιστρέψας, προτέρην ἰήσαο νοῦσον·
Πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου μ' ἐκάλεσσας,
Καὶ γὰρ ἀνυμνήσω σε, Μάκαρ, παναληθέϊ μολπῇ,
Μέλπων ἐν κιθάρῃ πανακήρατον Ἰσραῆλον.

Ἀμφὶ σὲ μελπόμενος μέγα χείλεσι γηθήσαιμι,
Ψυχῇ θ', ἣν ῥ' ὀλοῷα, Βασιλεῦ, ἀπελύσαο νούσων.
Πρὸς δέ τί μευ καὶ γλῶσσα δικαιοσύνην σέο μέλψει,
Εὖτε καταισχυνθῶσιν ἐμὸν διζήμενοι ἄλγος.

ΨΑΛΜΟΣ ΟΑ'.

Τοῦτ' ἄρα παισὶν ἔην ἀνεπίγραφον Ἑβραίοισιν
Ἡδὺ μέλος Σολομῶνι πολυκλήεντι μεμηλός.
Ἑβδομάτης δεκάδος πέλεται καὶ πρῶτον ἄεισμα.
Εὐδικίην βασιλῆϊ πόροις σέο, φέρτατε Ποιμὴν,
Παιδί τε σὴν προΐαλλε δικαιοσύνην βασιλῆος,
Ὄφρα διακρίνωσιν ἐπ' εὐδικίῃ σέο λαὸν,
Πτωχοῖς δ' ἀκτεάνοισι δίκην δικάσωσιν (55) ἀρήγων.
Οὔρεσιν εἰρήνη σθεναρὴ βουνοῖς τε μελέσθω.
Πτωχῶν δημοτέροισιν ὑπ' εὐδικίῃσι δικάζειν.
Ἀκτεάνων θ' ἅμα παισὶν ὀρινομένοισιν ἀρήγειν.
Ἐκ ῥηξηνορίης καθέλοι ψευδηγόρον ἄνδρα.
Ἠελίῳ φαέθοντι διαμπερὲς ἶσα φαείνοι.
Πάντας ὑπερλάμπων κεραῆς προπάροιθε σελήνης,
Ὑψόθεν ἠρεμέων ὡς ὑετὸν (56) ἐς πόκον, ἔλθοι,
Ὡς γαῖαν νιφάδεσσιν ὅτ' οὐρανὸς ἦσυγα βάλλει.
Ἔσσεται ἡμέρη ἥδε δικαιοσύνης τότε μήτηρ,
Εἰρήνης τ' ἐρατῆς, μήνης σθένος εἰσόκε λάμπῃ.
Ἐξ ἑτέρης ἑτέρηνδε κράτος τανύσειε θαλάσσης,
Ἔκ θ' ἱερῶν πυταμῶν μετὰ πείρατα μυρία γαίης.
Αὐτὸν φῦλα θοῶς γουνάσσεται Αἰθιοπήων·
Δυσμενέες δὲ οἱ ἀμφὶ κόνιν λείξουσι δαμέντες.
Οἴσατε νῆσοι δῶρ', ἅμα δ' οἴσατε, Θαρσίδος ἀρχοί.

Ἐκ δ' Ἀράβων Σαβίων τε πολύλλιτα δῶρα φερέσθω.

Γαιης μιν βασιλῆες ὅλης ἅμα γουνάσσαιντο·
Ἔθνεά οἱ παντοῖα ποτὶ ζυγῷ αὐχένα θείη,
Πτωχὸν ἐπεὶ παλάμης σθεναρῶν ἀπελύσατο φῶτα,
Καὶ πενίῃ βλαφθένθ', ᾧ μὴ πέλας ἔσκεν ἀμύντωρ.
Πτωχοῦ λευγαλέου περιφείσεται ἠδὲ πενιχροῦ,
Ψυχὰς τ' ἀκτεάνων ὀλοῆς ἀπολύσεται ἄτης·
Ἐκ τόκου ἔκ τ' ἀδίκοιο βίης σφέας ἐξαρπάσσει (57)·
Τῶν δ' ἄρα οἱ κατέναντι φανήσεται οὔνομ' ἀγητόν.

Ζήσεται· Ἀῤῥαβίη δὲ γέρας χρυσοῖο κομίσσοι·
Ἀμφ' αὐτοῦ Βασιλῆα λιτῆς καλέσοιεν ἀπαύστοις,
Καί ἑ πανημέριον ἀγαθοῖς μελψαίατο κώμοις.
Οὔρεσιν ἀκροτάτοισιν ἕδος κλυτὸν ἔσσεται αἴης·
Πιότερον Λιβάνοιο φέροι μελιηδέα καρπόν.
Ἄστεος ἀντέλλοιεν ὅλης ἅτε χόρτος ἀρούρης.
Αἰνετὸν οὔνομα θεῖον ἐπ' ἀλήκτοισι γενέθλαις·

Ἠελίου προπάροιθε μένει κλυτὸν οὔνομα θεῖον,
Λαμπόμενον καὶ πρόσθε φερεζώοιο σελήνης.
Ἀμφ' αὐτῷ τριπόθητον ἕλοι κλέος ἔθνεα γαίης.
Ὄλβιστον καλέσειαν ἀεὶ Θεὸν ἔθνεα πάντα.
Αἰνετὸς αἰὲν ἔφυ Θεὸς ἄφθιτος Ἰσραήλου,
Ὅς καὶ μοῦνος ἀεὶ τελέει περιθαμβέα ἔργα.
Αἰνετὸν οὔνομα θεῖον εὐκλείῃσι μεμηλὸς,
Καὶ νῦν, καὶ μετέπειτα, καὶ ἐσσομένοισι γενέθλαις.
Γαῖαν ὅλην πλήσειε Θεοῦ κλέος, ὧδε γενέσθω.

A De te canens magnopere labiis exsultem,
Animaque, quam perniciosis, Rex, liberasti morbis.
Insuper mea etiam lingua justitiam tuam cantabit,
Cum confusi fuerint meum quærentes dolorem.

PSALMUS LXXI.

*Illud utique filiis erat inscriptione carens Hebræis*
*Dulce carmen Salomoni claro gratum.*
*Septimæ decadis est et primum carmen.*
Judicium regi præbeas tuum, optime Pastor,
Pueroque tuam propene justitiam regis,
Ut judicet in justitia tuum populum,
Pauperibus vero egenis jus dicat optimum.
Montibus pax valida collibusque curæ sit.
Pauperum popularibus in æquitatibus judicare.
Egenorumque simul filiis afflictis opitulari.
Ex robore deprimat calumniatorem virum.
B Soli lucido semper æqualiter luceat.
Omnes collustrans cornutam ante lunam,
Ex alto sensim sicut pluvia in vellus veniat,
Sicut terram nivibus quando cœlum tacite ferit.
Erit dies hæc justitiæ tunc mater,
Pacisque amabilis, lunæ robur donec luceat.
Ab altero ad alterum dominationem extendat mari.
Et a sacris fluminibus post terminos multos terræ.
Ipsum genera velociter adorabunt Æthiopum;
Inimici vero ei in pulvere lingent subacti.
Afferte insulæ, dona, simul vero afferte, Tharsidis reges,
Ab Arabibus vero Sabæisque supplicia dona adducuntor.
Terræ eum reges universæ simul adorent:
C Gentes ei variæ sub jugum cervicem ponant,
Pauperem quia de manu potentium liberavit virum
Et paupertate læsum, cui non prope erat adjutor.
Pauperi anxio parcet et egeno,
Animasque inopum perniciosa liberabit noxa:
Ab usura et ab iniqua vi ipsos eripiet:
Horum utique ipsius in conspectu apparebit nomen admirabile.
Vivet: Arabia vero præmium auri afferat:
De ipso Regem precibus invocent continuis,
Et eum tota die bonis celebrent carminibus.
Montibus summis sedes clara erit terræ:
Pinguiorem Libano ferat suavem fructum.
De civitate floreant totius tanquam fenum terræ.
Laudabile nomen divinum in perpetuis generationibus:
D Solem ante manet inclytum nomen divinum,
Clarum etiam ante almam lunam.
In ipso optatissimum capiant decus gentes terræ,
Beatissimum vocaverint semper Deum gentes omnes
Laudabilis semper est Deus incorruptus Israelis,
Qui etiam solus semper facit stupenda opera.
Laudabile nomen divinum laudibus gratum,
Et nunc, et postea, et futuris generationibus.
Terram universam impleat Dei gloria, sic fiat.

(55) Διακρίνωσιν..... δικάσωσιν. Forte, διακρίνησιν..... δικάσησιν, vel διακρίνειεν..... δικάσειεν. Edit.

(56) Ὡς ὑετόν. Forte, ὡς ὑετός. Edit.

(57) Ἐξαρπάσσει. Forte, ἐξαρπάξει. Edit.

## PSALMUS LXXII.

*Davidis carminum quidem cessavit divina mens,*
*Filii Jesse ex imbecillitate :*
*Asaphus vero surrexit, et resonuit spiritui divino,*
*Septimæ decadis secundum hymnum fundens.*

Quomodo tantum rectis corde bonus Deus Israelis!
Etiam sane mei vacillabant pedes pene necessario,
Et mea hinc et hinc diffluebant vestigia pedis :
Quia sane in animo meo zelabam errones,
Pacem videns improbitatis sociorum.
His inevitabilis semper et irremeabilis erat mors,
Et validæ plagæ in plagis gravibus.
Humanorum laborum nescientes semper sunt.
Neque enim hominibus ut par est æque domentur :
Inde superbia cordis depressi sunt,
Et ipsos injustitia iniqua circumdat :
Velutque adeps quidam sua prodibit contumelia.
Prodibant contrectantes sui curas animi,
Pectoribus cogitantes iniqua loquebantur,
Perniciosis Altissimum contumeliis feriebant.
Avidum suum os posuerunt etiam cœli usque [portas,
Linguam attollentes totius super ambitum terræ
Ideo convertatur meus rursum huc populus.
Dies vero pleni in eis omnes appareant.
Dixi vero : Quo pacto utique hæc Deus animis sciet?
An vere Rex summus est intelligens ?
Quomodo isti nequitiæ fautores lætantur,
Secure divitias prolixe obtinentes ?
Num forte frustra sanctam mentem dixi servare,
Lavans mundas purissima aqua manus ?
Tota die flagello corpus vinctus temere :
Mane validis sauciatus corde redargutionibus,
Existimavi, undenam sic perite narrabo ?
Filiorum tuorum generationi æque tabesco operibus
At ego cordatis cogitavi præcordiis.

Apparuit vero hoc labor in oculis meis,
Donec ingrediar Dei impollutam domum :
Et suorum stabulorum ultimum finem inquiro.
His laborem dolosis parem præbuisti operibus,
Alte sublatos admovisti terrenis fundamentis.
Derepente undenam sic domiti sunt valde subacti?
Peccatis suis languentes perierunt.
Ut vero cum surgentium e lectis molle somnium,
Sic suam in tua civitate formam offuscas.
Quia meus gravis in præcordiis ardebat animus :
Nostri vero commutati sunt præ impotentia renes.
At ego flagello domitus non cognovi animo :
Jumentum ut factus sum apud te, summe Pastor,

Tuis jugiter bonis gratus oculis.
Dexteram tenebas meam, Immortalis, manum,
Tuis præceptis qui me, Beate, deduxisti,
Et tua gloria me suscepisti clara.
Quænam mihi cœlestibus est in domibus portio ?
Aut quid te in terra ego plus volui posse ?
Tabescit mihi cor, et meum corpus, incorrupte Pastor,

A

## ΨΑΛΜΟΣ ΟΒ.

Δαυΐδου μελέων μὲν ἐπαύσατο θεσπεσίη φρὴν,
Παιδὸς Ἰεσσαίου ἐξ ὀλιγοδρανίης·
Ἄσαφος δ' ἀνόρουσε, καὶ ἴαχε πνεύματι θείῳ,
Ἑβδομάτης δεκάδος δεύτερον ὕμνον ἱείς.

Πῶς τόσον ἰθυνόοις ἀγαθὸς Θεὸς Ἰσραήλου !
Καί κεν ἐμοὶ κλονέοντο πόδες παρὰ βαιὸν ἀνάγκη,
Καί μευ ἔνθα καὶ ἔνθα κατέῤῥεον ἴχνια πέζης·
Οὕνεκα δὴ κατὰ θυμὸν ἐμὸν φθονέεσκον ἀλείταις,
Εἰρήνην ἐπιδερκόμενος κακότητος ἐρίθων.
Τοῖσιν ἄφυκτος ἀεὶ καὶ ἀνόστιμος ἔπλετο πότμος,
Καὶ σθεναραὶ μάστιγες ἐπὶ πληγῇσι βαρείαις.
Ἀνδρομέων καμάτων ἀδαήμονες αἰὲν ἔασσιν.
Οὐδὲ γὰρ ἀνθρώποισι κατὰ χρέος ἶσα δαμεῖεν·
Ἔνθεν ὑπερβασίῃ κραδίης καταβεβρίθασι,
Καί σφεας δυσνομίη ἀθεμίστιος ἀμφιπολεύει.
B Οἷά τε πιαλέη τις ἑῇ προελεύσεται ὕβρις.
Ἔστιχον ἀμφαφόωντες ἑοῦ μελεδήματα θυμοῦ,
Στήθεσιν ὁρμαίνοντες ἀθέσμια μυθίζοντο,
Οὐλομένῃς Ὕψιστον ἐπεσβολίῃσιν ἔβαλλον.
Λάβρον ἑὸν στόμα θέντο καὶ οὐρανοῦ ἄχρι πυλάων,
Γλῶσσαν ἀρτάζοντες ὅλης ὑπὲρ ἄντυγα γαίης.
Τοὔνεκ' ἐπιστρέψειεν ἐμὸς πάλιν ἐνθάδε λαός.
Ἤματα δὲ πλήθοντα μετὰ σφίσι πάντα φανείη.
Εἶπα δέ. Πῶς ἄρα ταῦτα Θεὸς πραπίδεσσι νοήσει ;
Εἰ δ' ἐτεὸν Βασιλεὺς παννπέρτατος ἐστι νοήμων,
Πῶς οἵδ' ἀμπλακίης ὑποφήτορες εὐφραίνονται,
Ἀσφαλέως πλούτοιο διηνεκέως κρατέοντες ;
Μὴ τάχα μαψιδίως ὅσιον νόον εἶπα φυλάξαι,
Νιψάμενος καθαρὰς πανακηράτῳ ὕδατι χεῖρας ;
C Ἠμάτιος μάστιγι δέμας δεδμημένος αὔτως·
Ἠῶθεν κρατεροῖς βεβολημένος ἦτορ ἐλέγχοις.
Ὠισάμην, πόθεν ὧδε περιφραδέως ἀγορεύσω ;
Παίδων σῶν γενεῇ τῇ (58) ὁμῶς κατατήκομαι ἔργοις.
Αὐτὰρ ἐγὼ πινυτοῖσι (59) περιφρασάμην πραπί-[δεσσιν.

Ἐκ δ' ἐφάνη τόδε μόχθος ἐν ὀφθαλμοῖσιν ἐμοῖσιν,
Εἰσόκεν εἰσέλθοιμι Θεοῦ πανακήρατον οἶκον
Καὶ σφεδέρων θαλάμων πύματον τέλος ἐξερεείνω.
Τοῖσι πόνον δολίων ἀντάξιον ὤπασας ἔργων
Ὑψοῦ ἀειρομένους πέλασας χθονίοισι θεμέθλοις.
Ἐξαπίνης πόθεν ὧδε δάμεν μάλα χειρωθέντες ;
Ἀμπλακίῃς σφετέρης ὀλιγοδρανέοντες ὄλοντο.
Ὡς δ' ὅταν ἐγρομένων λεχέων ἀλαπαδνὸν ὄνειρον,
Οὕτως σφωίτερον μετὰ σὴν πόλιν εἶδος ἀμέρδοις.
D Οὕνεκά μευ βαρύμηνις ἐνὶ φρεσὶ καίετο θυμός·
Ἡμέτεροι δ' ἤμειφθεν ἀμηχανίης ὕπο νεφροί.
Αὐτὰρ ἐγὼ μάστιγι δαμεὶς οὐκ ᾔδεα θυμῷ·
Κτῆνος ὅπως γενόμην παρὰ σοὶ, πανυπέρτατε Ποι-[μὴν,
Σεῖο διηνεκέως ἀγαθοῖς μεμελημένος ὄσσοις.
Δεξιτερῆς κρατέεσκες ἐμῆς, Πανακήρατε, χειρὸς,
Σῆς ὑποθημοσύνῃς ἐμέθεν, Μάκαρ, ἡγεμόνευσας,
Καὶ σῇ εὐκλείῃ με κομίσσαο κυδιανείρῃ.
Τίς νύ μοι οὐρανίοισι πέλει μετὰ δώμασιν αἶσα ;
Ἢ τί σέθεν κατὰ γαῖαν ἐγὼ πλέον ἤθελον ἴσχειν ;
Τήκετό μοι κραδίη καὶ ἐμὸν δέμας, ἄφθιτε Ποιμὴν,

(58) Γενεῇ τῇ. Forte, γενεῆς τε. EDIT.

(59) Πινυτοῖσι. Forte, πινυτῇσι. EDIT.

Νωλεμέως δέ μοι αἶσα τελευτήσασα λέλασται.
Σεῦ ἀπονοσφισθέντες ἄδην ἀπολοίατο πάντες.
Μαχλοσύνης ἀλέγοντας ἀδευκέϊ δῶκας ὀλέθρῳ.
Αὐτὰρ ἐμοὶ Βασιλῆϊ πελασσέμεν ἐσθλὸν ἐτύχθη,
Ἀθανάτῳ τε ἄληκτον ἐμὴν Θεῷ ἐλπίδα θέσθαι,
Ὄφρα πύλης Σιῶνος, Ἄναξ, τεὸν αἶνον ἀείσω.

## ΨΑΛΜΟΣ ΟΓ'.

Ἀσάφου πινυτῆς θεοτερπέος εἴκελος ὕμνος
Ἑβδομάτης δεκάδος ἀμφὶ τρίτος τελέθει.

Ἐς τί διηνεκέως ἡμέας ἐξώσαο, Ποιμήν,
Σοῖς δ' ἐπεθωρήχθη οἴων περὶ πώεσι μῆνις;
Μνῆσαι σῆς κλισίης, ἧς προκτεατίσσαο μοῦνος.
Αὐτὸς σκῆπτρον ἔρυσο τεῆς βασιληΐδος αἴσης.
Κλεινὸν ὄρος Σιῶνος, ὅθι κλυτὰ δώματα ναίεις.
Χεῖρας ὑπερβασίῃσι τεὰς σφετέρῃς ἐπαείροις,
Ὅσσαπερ εὐαγέεσσι κακῶς ἐπεμήσατ' ἀλείτης,
Δυσμενέες τ' εὔξαντο τεῆς κατὰ μέσσον ἑορτῆς.
Οὐκ ἐδάησαν ἑὰ σημήια, σήματα θέντες·
Οἷάπερ εἰσίθμης στεινῆς βεβαῶτες ἔνερθεν,
Ὡς δρυμὰ τῆσδε θύρῃσιν ἐπέχραον ἀξίνῃσι,
Ῥηγνύντες πελέκει καὶ τέκτονος ἔντεσι φωτός
Πρὸς δὲ σέθεν πρήσαντες ὅλον θεοτερπέα νηόν,
Ἐν χθονὶ θέντο βέβηλον ἀκήρατον οὔνομα σεῖο
Ἔννεπον ὃν κατὰ θυμὸν ἀγειράμενοι τάδε πηοί·
Δεῦρ' ἴτε παύσοντες Μάκαρος κατὰ γαῖαν ἑορτάς.
Οὐδὲ γὰρ ἡμείων σημήιον ἐφρασάμεσθα·
Οὐκέτ' ἄναξ Θεὸς ἄμμιν ἐπίσκοπος, οὐδ' ὑποφήτης.
Εἰπὲ, Μάκαρ, τέο μέχρις ἀνάρσιος ὕβριν ὀφέλλει,
Νωλεμέως δ' ἐρέθει τεὸν οὔνομα δήιος ἀνήρ;
Τίπτε μάλ' ὧδ' ἔστρεψας ἀλεξίκακόν σεο χεῖρα,
Καὶ σεο δεξιτερὴν μέσσῳ περικάτθεο κόλπῳ;
Ἀνδρομέου καὶ πρόσθε βίου Θεὸς αἰὲν ἀνάσσει,
Ἄμμι δὲ φέγγος ἑὸν τεκτήνατο μεσσόθι γαίης.
Ἔμπεδός ἐστι τεῷ περὶ κάρτεϊ πόντος ἀπείρων.
Ὤλεσας ἰοβόλων κεφαλὰς ῥοθίοισι δρακόντων·
Ἔθλασας οὐλομένοιο κάρη κρυεροῦ τε δράκοντος,
Καὶ μιν ἑλὼν λαοῖς θαλίην πόρες Αἰθιοπήων.
Ῥήξαο χειμερίους ποταμοὺς, πηγάς τ' ἀνέτειλας,
Καὶ ποταμῶν κελάδοντα ῥόον τέρσηνας Ἐθάμου.
Ἦμαρ ὁμοῦ σὺν νυκτὶ τεῆς κτέρας εἰσὶν ἀνωγῆς·
Ἠελίῳ δ' ἀκάμαντι σεληναίην ἅμ' ἔτευξας.
Γαίης πείρατα πάντα τεὴ κάμεν ἀκάματος χείρ,
Εἴαρι δ' ἀμφ' ἱερῷ θέρεος καματώδεος ὥρην,
Τῶνδε παράμνησαι, Βασιλεῦ, ὧν ἔκτισας ἔργων.
Δήιος ἐν νείκεσσι πάρος βασιλήιον ἀλκὴν,
Καὶ λαὸς κανόμητις ἄδην ὀρόθυνεν ἄνακτα.
Μή μοι θηροὶ Θεῷ μεμελημένον ἦτορ ἐάσῃς,
Μηδὲ διηνεκέως ψυχέων λελάθοιο πενιχρῶν.
Συνθεσίην θεράποντος, Ἄναξ, σκοπιάζεο σεῖο·
Ὡς χθονὸς ἔπλησθεν σκοτοειδέες ἀμπλακιάων.

A Semper vero mihi portio occumbere oblita est.
A te separati satis pereant omnes.
Impudicitiam curantes amaro dedisti interitui.
At mihi Regi adhærere bonum est:
Immortalique perpetuam meam Deo spem ponere:
Ut portis Sionis, Rex, tuam laudem cantem.

## PSALMUS LXXIII.

*Asaphi prudentiæ Deo gratæ similis hymnus*
*Septimam decadem circa tertius est.*

Ad quid perpetuo nos repulisti, Pastor,
Tuos vero armatus est ovium in greges furor?
Memor esto tuæ caulæ, quam ante possedisti solus.
Ipse sceptrum redemisti tuæ regiæ portionis.
Celebris mons Sionis, ubi inclytas domos habitas:
B Manus superbiis tuas eorum attollas,
Quanta quidem sanctis maligne excogitavit scele-[ratus,
Inimicique gloriati sunt tui in medio festi.
Non cognoverunt sua signa ponentes,
Velut introitum angustum ingressi intra.
Quasi nemora hujus januis excidebant securibus,
Rumpentes ascia et fabri armis viri.
Præterea vero tuum incendentes totum divinum [fanum,
In terra posuerunt profanum immaculatum nomen [tuum,
Dixerunt suo in animo aggregati hæc affines:
Eia agite cessare facientes Beati in terra solemni-[tates.
C Neque enim nostrum signum perspeximus.
Non amolius Rex Deus nobis curator neque sa-[cerdos.
Dic, Beate, quousque inimicus contumeliam auget,
Jugiter vero irritat tuum nomen inimicus vir?
Quare valde sic convertis vindicem tuam manum,
Et tuam dexteram medio amoves de sinu?
Humanam etiam ante vitam Deus semper imperat,
Nobis vero lumen suum paravit in medio terræ.
Firmum est tuo undique robore mare immensum:
Perdidisti venenatorum capita in fluctibus draco-[num.
Fregisti perniciosi caput pestiferique draconis
Et eum projiciens populis epulum præbuisti Æthio-[pum.
Dirupisti hiemales fluvios, fontesque extulisti,
D Et fluminum resonantem defluxum siccasti Ethami.
Dies simul cum nocte tuæ possessio sunt jussionis,
Sole autem indefesso lunam simul fabricatus es,
Terræ terminos omnes tua fabricavit infatigabilis [manus.
Ver autem circa sacrum æstatis laboriosæ tempus,
Horum esto memor, Rex, quæ creasti operum.
Inimicus in rixis antea regium robur,
Et populus insipiens satis irritavit Regem.
Ne mihi bestiis Deo gratum cor permittas,
Neque perpetuo animarum obliviscaris pauperum.
Fœdus famuli, Rex, inspice tui,
Quia terræ repleti sunt caliginosi peccatis.

Humilem ne prorsus erubescentem repellas,
Inops et pauper, Rex, tuum nomen celebret.
Exsurge, nostrum vero jus, Incorrupte, disceptes.
Memor esto quomodo rixis tota die Deum insipiens.
Ne unquam supplicantium gemebundæ obliviscaris [vocis,
In te, Beate, inimicorum superba contumelia as- [cendit.

## PSALMUS LXXIV.

*Ne aliquando corrumpas bonas curas cantus,*
*Nobilis Asaphus vocavit modulans.*
*Septem doctas decadas ad quartus hymnus est.*

Pastori honorato divinum dicemus hymnum :
Cantabimus precati nobile nomen omnium Regis.
Infinita miracula tua rite narrabo.
Cum apparuerit tuum tempus, ego, Beate, recta [judicabo.
Omnibus simul incolis suis tabescit terra.
Columnas inexpugnabiles suas ego stabilivi.
Dixi iniquis ab iniquitate cessare,
At ineptis cornu non prorsus extollere.
Neque eorum in altum extollere præter fas,
Neque adversus Immortalem injusta superbe loqui.
Neque ab oriente claro, neque ab occasibus,
Neque utique arboriferorum montium a multum [deserto,
Quod semper Deus est judex ignaris.
Alium miserabilem posuit, alium vero in alterum [exaltat.
Meri manu Beati poculum probe mistum vini,
Ex alia in aliam inclinando suspenditur.
Verumtamen inexinanita fæx ejus manet,
Bibant simul omnes stultitiæ famuli.
Cæterum ego in his jugiter gaudeam.
Jucunde celebrabo Deum immortalem Jacobi.
At superborum cornua omnia confringam,
Piorum ut solum exaltatum cornu sit.

## PSALMUS LXXV.

*Regem Assyriorum ridens Asaphus prudens,*
*Resonuit septimæ decadis etiam quintum carmen.*

Solus Judææ Rex clarus est :
Nomen ipsi gloriosum in gentibus Israelis :
Hujus vero in pace fortis ædificatur locus,
In vero amabili Sione, chara et immaculata domus.
Ibi robur arcuum robustorum confregit,
Scutum, et gladium acutum et solidum clamorem.
Appares æternis a montibus lumen admirabile,
Pectoribus omnino insipientes turbati sunt.
Somnum dormituri improvidum, nihil repererunt
Divites manibus suis fidentes viri :
Horribiliter Jacobi succensente Rege :
Equites valde omnes occupavit profundus somnus
Es, Beate, terribilis, quis tecum robore certet ?
Ab initio tua ira habet multam vim :
Auribus de cœlo mortalibus justitiam inserens.
Quieta vero utique terra tremens compedita est,

A Οὐτιδανὸν μὴ πάμπαν ἐρευθιόωντ' ἀποπέμψῃς·
Ἀκτέανος καὶ πτωχὸς, Ἄναξ, τεὸν οὔνομα μέλψοι.
Ἔγρεο, νωιτέρην δὲ δίκην, Ἄχραντε, δικάζοις.
Μνώεο πῶς νείκεσσι (60) πανημέριος Θεὸν ἄφρων.
Μήποτε λισσομένων γοερῆς ἐπιλήσεαι αὐδῆς·
Πρὸς σὲ, Μάκαρ, δηίων ὑπερήφανος ὕβρις ἱκάνει.

## ΨΑΛΜΟΣ ΟΔ'.

Μηδέποτε φθείρῃς ἀγαθὰς μελεδῶνας ἀοιδῆς,
Φαίδιμος Ἄσαφος κέκλετο μελπόμενος.
Ἑπτὰ σοφαῖς δεκάσι πρὸς τέτρατος ὕμνος ἐτύχθη.

Ποιμένι τιμήεντι θεουδέα λέξομεν ὕμνον·
Μέλψομεν εὐχόμενοι κλυτὸν οὔνομα Παμβασιλῆος.
Μυρία θαύματα σεῖο περιφραδέως ἀγορεύσω.
B Εὖτε φανῇ σεο καιρὸς, ἐγὼ, Μάκαρ, ὀρθὰ δικάσω.
Πᾶσιν ὁμοῦ ναέτῃσιν ἑοῖς κατατήκεται αἶα.
Κίονας ἀκαμάτους σφετέρας ἐγὼ ἐστήριξα.
Ἐξεφάμην ἀνόμοισιν ἀθεσμοσύνης ἀπολήγειν,
Αὐτὰρ ἀτασθάλλουσι κέρας μὴ πάμπαν ἀείρειν,
Μηδὲ κέρας εἰς ὕψος ἀερτάζειν παρὰ μοίρην,
Μηδὲ κατ' Ἀθανάτου ἀθεμίστια λαβρευεσθαι·
Οὔτ' ἐξ ἀντολίης ἐρικυδέος, οὔτ' ἀπὸ δυσμῶν,
Οὔτ' ἄρα δενδροκόμων ὀρέων ἄπο πολλὸν ἐρήμου.
Ὡς αἰεὶ Θεός ἐστι δικασπόλος ἀγνώσσοισιν (61).
Ἄλλον λυγρὸν ἔθηχ', ἕτερον δ' εἰς ὕψος ἀείρει,
Ἀκρήτου παλάμῃ Μάκαρος δέπας εὐκραὲς οἴνου.
C Ἐξ ἑτέρης ἑτέρηνδε παρακλιδὸν ἠώρηται.
Ἔμπα γε μὴν ἀκένωτος ὑποστάθμη ἑο μίμνει·
Πινόντων ἅμα πάντες ἀτασθαλίης θεράποντες·
Αὐτὰρ ἐγὼ μετὰ τοῖσι διηνεκέως κεχαροίμην,
Ἡδέα φορμίξω Θεὸν ἄφθιτον Ἰακώβου·
Αὐτὰρ ὑπερφιάλων κέραα ξύμπαντα κεάσσω,
Εὐσεβέων ἵνα μοῦνον ἀειρόμενον κέρας εἴη.

## ΨΑΛΜΟΣ ΟΕ'.

Κοίρανον Ἀσσυρίων γελόων Ἄσαφος ἐχέφρων,
Ἴαχεν ἑβδομάτης δεκάδος καὶ πέμπτον ἄεισμα.

Μοῦνος Ἰουδαίῃ Βασιλεὺς ἀρίδηλος ἐτύχθη·
Οὔνομά οἱ μεγαλαυχὲς ἐν ἔθνεσιν Ἰσραήλου.
Τοῖο δ' ἐν εἰρήνῃ κρατερὸς τεκταίνετο χῶρος,
Ἐν δ' ἐρατῇ Σιῶνι φίλος καὶ ἀκήρατος οἶκος·
Κεῖσε βίην τόξων μεγαλοσθενέων ξυνέαξεν,
D Ἀσπίδα καὶ ξίφος ὀξὺ καὶ ἀστυφέλικτον ἀϋτήν.
Φαίνεις ἀθανάτων ὀρέων ἄπο φέγγος ἀγητόν.
Στήθεσι πανσυδίῃ ἀεσίφρονες ὠρίνθησαν,
Ὕπνον κακκείοντες ἀμήχανον· οὐδὲν ἐφεῦρον
Ἀφνειοὶ παλάμῃσιν ἑαῖς περιθαρσέες ἄνδρες.
Σμερδνὸν Ἰακώβοιο κοτεσσαμένου Βασιλῆος,
Ἱππῆας μάλα πάντας ἕλεν κάτα νήγρετος ὕπνος.
Ἐσσὶ, Μάκαρ, βλοσυρός· τίς τοι μένος ἀντιφερίζοι
Ἐκ παλαχῆς σεο μῆνις ἔχει περιώσιον ἀλκήν.
Οὔασιν οὐρανόθεν θνητοῖς θέμιν ἐγγυάλιξας·
Εὔκηλος δ' ἄρα γαῖα περιτρομέουσα πεδήθη,

(60) Νεκεσσι. Forte, νείκεσσε. EDIT.
(61) Ἀγνώσσοισιν. Forte, ἀγνώτεσσιν, vel ἀγνώσσουσιν, vel ἀγνώτοισσιν. EDIT.

Ἀθανάτου Βασιλῆος ἀνεγρομένοιο δικάζειν,
Ῥύσασθαι ναετῆρας ὅλης χθονὸς ἠπιοθύμους.
Ἀνδρόμεόν σε νόημα περὶ στέρνοις ἀναμέλψει,
Καί σοι λείψανον ἡδὺ νοήματος οἴσει ἑορτήν.
Ἀθάνατον λίσσεσθε, καί οἱ δότε μείλιχον εὐχήν·
Ὅσσοι δ' ἀμφιέπουσι Θεὸν, κλυτὰ δῶρα φερόντων.
Καρτερῷ, ᾧ τε μόρος μέλεται σθένει ἡγεμονήων,
Εὐρυβίη μετὰ πᾶσιν ἀριζήλοις βασιλεῦσιν.

ΨΑΛΜΟΣ ΟϚʹ.

Ἀσαφος μενεχαρμος ἄναξ ὑπὲρ Ἰδιθούμου
Ἑβδόμη ἀμφ' ἱερῆ δεκάδος μέλος ἴαχεν ἕκτον.

Ἡμετέρην Βασιλῆι βοὴν ἀνέπεμψα χατίζων,
Αὐτὰρ ὁ νωιτέρην δεδαὼς ἐπεδέρκετο φωνήν.
Ἀμφαφόων λιτόμην Θεὸν ἄφθιτον ἤματι μόχθου,
Χερσὶν ἐμαῖς διὰ νυκτὸς ἰὼν πέλας, οὐδ' ἀπατήθην.
Ἠρνεόμην πραπίδεσσι παρηγορέοντος ἀκοῦσαι.
Μνησάμενος Βασιλῆος, ἔχον πολυκυδέα τέρψιν·
Ἐξαπίνης δ' ἀνέμελψα, νόῳ δ' ὀλιγοδρανέεσκον.
Ὄσσε φίλω φυλακῆσιν ὑποφθαμένω μεμέληντο.
Σιγαλέον νύ μοι ἦτορ ὀρινομένῳ περ ἀνέτλη.
Ἐφρασάμην βιότοιο παλαιότατον φρεσὶν ἦμαρ,
Καὶ μνησθεὶς ἐτέων, προτέρας ἀνέμελψα γενέθλας,
Παννύχιος κραδίῃ μελεδήματα πολλὰ λιγαίνων,
Καί μευ ἀνιχνεύεσκε νόος διζήμενος αἰεί.
Ἦ ῥά που ἀνδρομέης γενεῆς ἐπιλήσεται Ἐσσήν;
Ἦ ῥ' οὐχ ὧν ἐφύτευσεν, ἔτι μεμνήσεται αὐτός;
Ἢ σφετέρην παύσειε διηνεκέως ἐλεητύν;
Μὴ Θεὸς οἰκτίρμων μητίσσατο πάγχυ λαθέσθαι;
Μὴ μέγα μηνίσας ἐλεημοσύνην ἀπερύξει;
Νῦν μόγις ἀρξάμενος νοέειν φρεσὶν αἴσιμ' ἀνέγνων·
Ἡ δ' ἀλλοφροσύνη παλάμης πέλει Ὑψίστοιο.
Ἔργων ἀθανάτοιο παρεμνήσθην Βασιλῆος.
Θαυμασίων ἀρχῆθεν ἐμεῦ μεμνήσομ' Ἄνακτος·
Ἔργοις θεσπεσίοισι διηνεκέως μελετήσω·
Ἆθλα νόῳ μέλψαιμι θεοδμήτων ἀρετάων.
Ἄφθιτε, σεῖο κέλευθος ἐν ἀχράντῳ πέλει αἰεί.
Τίς θεὸς ἡμετέρῳ πανομοίιός ἐστιν Ἄνακτι;
Μοῦνος ἄναξ Θεός ἐστι, περικλυτὰ θαύματα ῥέζων,
Πᾶσιν ὁμῶς λαοῖσι τεὴν ἀνέφηνας ἐρωήν.
Σεῖο μεγακλήεντι βραχίονι ῥύσαο λαὸν,
Παῖδας Ἰωσήφου καὶ Ἰακώβου μεγαθύμου.
Ὕδατα θηήσαντό σε, καὶ ῥίγησαν ἰδόντα.
Πυθμένες ἀνίαχοι βυθίων κλονέοντο ῥεέθρων·
Σμερδαλέος κτύπος ὦρτο δι' αἰθερίων νεφελάων.
Καὶ γὰρ σεῖο βέλεμνα διέσσυτο ἔνθα καὶ ἔνθα,
Ἐν κύκλῳ τροχαλῷ βροντῆς πολυηχέος ὁρμή (62).
Ἀθανάτου στεροπῆσιν ὅλη περιλάμπεται αἶα·
Ῥιζόθεν ἀνθικόμος (63) περισείετο κινυμένη χθών.
Ἐν πόντῳ βρεμέθοντι τεαί, Μάκαρ, εἰσὶ κέλευθοι,
Ὕδασιν ἐν πολέεσσι τεαὶ τελέθουσιν ἀταρποί·
Οὐδ' ἴχνος Βασιλῆος ἀριφραδὲς ἀνδράσιν ἔσται.
Λαῶν ἡγεμόνευσας ὅπως καλὰ μῆλα νομεύων,
Χειρὶ σοφῇ Μωσῆος Ἀαρῶνός θ' ἱερῆος.

(62) Ὁρμή. Forte, ὁρμῇ. Edit.

A Immortali Rege surgente ad judicium,
Ad liberandum incolas totius terræ mansuetos.
Humanus te intellectus in pectoribus canet,
Et tibi reliquiæ suaves cogitationis agent festum.
Immortali supplicate, et ipsi date blandam precem:
Qui vero curant Deum, inclyta dona afferant,
Forti, cuique interitus curæ est potentia princi-[pum,
Potentia apud omnes claros reges.

PSALMUS LXXVI.

*Asaphus fortis rex pro Idithumo,*
*Septimam circa sacram decadis carmen resonuit [sextum.*

Nostrum Regi clamorem commisi indigens,
At nostram sciens conspexit vocem.
B Contrectans precabar Deum immortalem die la-[boris,
Manibus meis per noctem accedens prope, nec [sum deceptus.
Recusavi animis consolatorem audire.
Memor Regis habebam honestam voluptatem,
Derepente vero cantavi, animo vero deficiebam.
Oculi chari vigilias anticipantes curabant.
Tacitum utique mihi cor commoto licet sustinuit.
Cogitavi vitæ antiquissimum mentibus diem,
Et recordatus annorum priores cecini generationes,
Tota nocte animo cogitationes multas cantans:
Et mea inquirebat mens perscrutans semper:
Nunquid sane humani generis obliviscetur Pastor?
Nunquid eorum quæ sevit adhuc recordabitur ipse?
C An suam cesset perpetuo misericordiam?
Num Deus misericors cogitavit prorsus oblivisci?
Num valde succensens misericordiam prohibebit?
Nunc vix incipiens intelligere animis æqua cognovi.
Hæc commutatio palmæ est Altissimi,
Operum immortalis memor fui Regis:
Mirabilium ab initio mei recordabor Regis:
Operibus divinis semper meditabor.
Præmia mente cantem divinarum virtutum.
Æterne, tua via in sancto est semper.
Quis deus nostro similis est Regi?
Solus rex Deus est præclara miracula faciens.
Omnibus simul populis tuam perfecisti potentiam.
Tuo præpotenti brachio liberasti populum,
Filios Josephi et Jacobi magnanimi.
D Aquæ viderunt te et timuerunt videntes,
Ima resonantia profundis turbabantur fluentis,
Horrendus fragor concitabatur per æthereas nubes.
Etenim tua tela transibant hinc et hinc,
In circulo rotabili tonitru sonori impetus.
Immortalis fulguribus tota refulget terra.
Radicitus florida concutiebatur agitata tellus.
In mari frementi tuæ, Beate, sunt viæ,
Aquis in multis tuæ sunt semitæ,
Neque vestigium Regis insigne viris erit:
Populos duxisti velut pulchras oves pascens,
Manu sapienti Mosis Aaronisque sacerdotis.

(63) Ἀνθικόμος. Forte, ἀνθεκόμος. Edit.

## PSALMUS LXXVII.

*Asaphi prudentiæ septimum circa carmen*
*Septimæ decadis cantus optime elaboratus.*

Oculis, popule meus, divinam inspice legem :
Aures nostri oris accommodate verbo.
Exorsus prudentibus involucris labia aperiam,
Ab initio priore generationum celebrabo vias.
Cognovimus animis quæ accepimus auditu,
Nobis vero tamen antea narraverunt patres.
Opera antiquorum suos non latent filios,
Hymnos Immortalis rite celebrantes,
Et virtutem quantam fecit simul cum stupendis [operibus ;
Testimonium statuit suo præmium Jacobo,
Et legem forti inclytam præbuit Israeli,
Nostris quam antea Rex constituit patribus,
Ut significent auspicata filiis parentes,
Ut altera hæc omnia discat postea generatio.
Filii quos procreent in futuris generationibus,
Ipsi vero annuntiabunt aucti hæc filiis,
Ut spem ponant in immortali Rege,
Neque operum regis sui obliviscantur Dei,
Sed et mandata Beati animis perquirant,
Neque charis parentibus sint omnino similes.
Sed o rigida mortalium pravaque generatio !
O generatio ! maleficus semper præcordiis animus [est,
Neque mentem sui Dei apud fidelem reperit.
Sagittationis longæ procul jaculantis Ephremi filii,
Pugnam fugerunt ignave post dorsa vulnerati.
Pactum pretiosum negarunt Dei,
Neque voluerunt legibus obsequi Regis :
Sed beneficentiæ bonæ obliti sunt Dei,
Neque in mirabilibus tantis in consilio flexi sunt,
Quæ antea Rex patravit suis coram patribus,
Ægypti in terra super Tanaim floridam,
Ut quondam bifariam mare discindens duxit popu- [los,
Utrem velut statuens crebrum fluentum hinc et [hinc,
Et ipsis in die nubem posuit signum viæ,
Noctu vero duxit per montes lumine ignis.
Fericomam scidit asperam petram in eremo :
Diceres tantum videns apparere poculum ab imo [serpere,
Quantam de petra sacra eduxit aquam,
Et multum perennibus decursum fluminibus simi- [lem.
Scelera vero ponentes super scelera consuebant,
Iram provocarunt cœlestis Regis,
Rigido corde tentantes Immortalem,
Escam repetentes suo gratam incommodo :
Immortalem vero in omnibus conviciantes dixe- [runt :
Num aliquod parare potest convivium in eremo ?
Nunquid enim, quoniam sicca eduxit aquas de pe- [tra,

A

## ΨΑΛΜΟΣ ΟΖ'.

Ἀσάφου πινυτῆς ἕβδομον ἀμφὶ μέλος,
Ἑβδομάτης δεκάδος κῶμος ἀριστόπονος,

Ὄμμασι, λαὸς ἐμὸς, θεοτερπέα δέρκεο θεσμόν·
Οὔατα νωιτέρου στόματος προσερείσατε μύθῳ.
Ἀρχόμενος πυκινοῖς αἰνίγμασι χείλε' ἀνοίξω,
Ἐκ παλαχῆς προτέρης γενεῶν ἀναμέλψομαι οἴμας.
Ἔγνωμεν πραπίδεσσι τάπερ προσεδέγμεθ' ἀκουῇ,
Ἄμμι δ' ὁμῶς τὸ πρόσθεν ἀφηγήσαντο τοκῆες.
Ἔργα παλαιγενέων σφετέρους οὐ κρύπτεται υἷας,
Ὕμνους ἀθανάτοιο περιφραδέως βοόωντας,
Καὶ σθένος ὅσσον ἔρεξεν ὁμοῦ περιθαμβέσιν ἔργοις.

Μαρτυρίην ἔστησεν ἑῷ γέρας Ἰακώβῳ,
Καὶ νόμον ἰφθίμῳ κλεινὸν πόρεν Ἰσραήλῳ,
B Νωιτέροις ὃν πρόσθεν Ἄναξ ἔστησε τοκεῦσιν,
Ὄφρα κε σημήνειεν (64) ἐναίσιμα παισὶ γονῆες,
Ὡς ἑτέρη τάδ' ἅπαντα μάθοι μετέπειτα γενέθλη·
Υἱέες οὓς κε τέκοιεν ἐν ὀψιγόνοισι γενέθλης,
Οὗτοι δ' ἀγγελέουσιν ἀεξόμενοι τάδε παισὶν,
Ὄφρα κεν ἐλπίδα θεῖεν ἐπ' ἀθανάτῳ Βασιλῆϊ,
Μηδ' ἔργων βασιλῆος ἑοῦ λελάθοιντο Θεοῖο,
Ἀλλὰ καὶ ἐννεσίας Μάκαρος φρεσὶν ἰχνεύσωσι,
Μηδὲ φίλοις τοκέεσσι γενοίατο πάμπαν ὁμοῖοι.
Ἀλλ' ὦ ῥιγεδανὴ μερόπων σκολιή τε γενέθλη,
Ὦ γενεὰ, κακοεργὸς ἀεὶ φρεσὶ θυμὸς ἐτύχθη,

Οὐδὲ νόον σφετέροιο Θεοῦ μετὰ πιστὸν ἐφεῦρε.
Τοξοσύνης ταναῆς ἑκατηβόλου Ἐφρέμου υἷες,
Δηιοτῆτα φέβοντο, κακῶς μετὰ νῶτα βαλόντες.
C Συνθεσίην ἐρίτιμον ἀπηρνήσαντο Θεοῖο,
Οὐδ' ἔθελον δεσμοῖσιν ὑποδρήσσειν Βασιλῆος·
Ἀλλ' εὐεργεσίης ἀγαθῆς ἐλάθοντο Θεοῖο,
Οὐδ' ἐπὶ θαυμασίοισι τόσοις κατὰ μῆτιν ἔκαμφθεν,
Ἃ πρὶν Ἄναξ ἐτέλεσσεν ἑῶν κατέναντα τοκήων,
Αἰγύπτου κατὰ γαῖαν ὑπὲρ Τάνιν ἀνθεμόεσσαν·
Ὥς ποτε διχθὰ θάλασσαν ἀναῤῥήξας ἄγε λαοὺς,

Ἀσκὸν ὅπως στήσας πυκινὸν ῥόον ἔνθα καὶ ἔνθα,

Καί σφισιν ἠμάτιος (65-66) νεφέλην θέτο σῆμα κελεύθου,
Νυκτὸς δ' ἡγεμόνευε κατ' οὔρεα φέγγεϊ πυρσοῦ.
Θηροκόμον διέρηξεν ἀναιδέα πέτρον ἐρήμῳ·
Φαίης τόσσον ἰδὼν δοκέειν πόμα βυσσόθεν ἕρπειν,

D Ὁππόσον ἐκ πέτρης ἱερῆς ἐξήγαγεν ὕδωρ,
Καὶ πολὺν ἀενάοισι ῥόον ποταμοῖσιν ὁμοῖον.

Ἀμπλακίας δὲ τιθέντες ἐπ' ἀμπλακίῃσιν ἔραπτον,
Μῆνιν ἀνεξήεσσαν ἐπουρανίου βασιλῆος,
Ῥιγεδανῆς κραδίης πειρώμενοι ἀθανάτοιο,
Βρῶσιν ἀπαιτίζοντες ἑῇ καταθύμιον ἄτῃ.
Ἀθάνατον δ' ἐν πᾶσι κακηγορέοντες, ἔειπον·

Μή τιν' ἑτοιμάσσαι δύναται θαλίην ἐν ἐρήμῳ ;
Μὴ γὰρ, ἐπεὶ τραφερῆς ἐξήγαγεν ὕδατα πέτρης,

(64) Σημήνειν. Forte σημήναιεν, vel σημήτειαν. Edit.

(65-66) Ἠμάτιος. Forte, ἠμάτιον. Edit.

Ῥοίζῳ χειμερίοις ἴκελα βρεμέθοντα ῥεέθροις,
Ἄρτον δευομένοισι πόθεν τόσσοισιν ὀπάσσοι,
Ἠὲ πόθεν λαοῖσιν ἐπεντύνειε τράπεζαν ;
Ταῦτα νόον θώρηξεν ἐρισθενέος Βασιλῆος,
Ὧν χαριν Ἰάκωβον ἀθέσφατος ἔφλεγε πυρσὸς,
Καὶ κότος ἀπροτίοπτος ἐπέχραεν Ἰσραήλῳ,
Οὕνεκεν οὐ θάρσησεν ἐπουρανίῳ Βασιλῆϊ,
Θεσπεσίῳ δ' οὐ πάμπαν ἔχον περὶ φέγγεϊ βουλήν.

Ὑψόθεν αἰθερίης νεφέλης ἀνετείλατο Ποιμὴν,
Οὐρανίων δὲ θύρετρα θοῶς ἐπέτασσε πυλάων.
Ὗε δ' ἄρα γνωστὸν γλυκερόν σφισι μάννα πάσασθαι,

Ἄρτον ἐπουράνιον φαγέειν προΐαλλε βροτοῖσιν·
Ἀγγελικὴν θαλίην μεροπηΐδι δῶκε γενέθλῃ.
Εἰνοδίην σφίσι δαῖτα Θεὸς δωρήσατο πολλήν.
Πνεῦμα μὲν ἀργέσταο νότου ξυνέεργεν ἀῆναι,
Ηκε δὲ δυσκελάδου Λίβυος τρηχεῖαν ἀϋτμήν.
Αὐτομάτους σφίσι σάρκας ὅπως κόνιν ἐγγυάλιξε,
Ψάμμον δ' ὡς πετεηνὰ πόρε πτερόεντα θαλάσσης.

Καὶ τὰ μὲν ἐξαπίνης μεθ' ὁμήγυριν ἔμπεσεν ἀνδρῶν,
Κυκλόθεν ἰθύνοντα πολυσπερέων κλισιάων.
Δινύμενοι δ' ἅμα πάντες ἐνεπλήσθησαν ἐδωδῆς·
Καί σφισιν ἐλδομένοις καταθύμιον ὤπασε δαῖτα,
Οὐδὲ πόθου νόσφισσε λιλαιομένους σφετέροιο.
Οὔπω δαὶς τετέλεστο, κόρου δ' ἔτι δεύετο θυμὸς,

Καί σφεας Ἀθανάτοιο μετέστιχε μῆνις ἑτοίμην,
Πότμον ἀνώϊστον πολέων τεύχουσα καρήνοις·
Καρτίστους τ' ἐπέδησεν ἀγακλέος Ἰσραήλου.
Ἀλλὰ γὰρ οὐδ' ἐπὶ τοῖσι κακορραφίης ἐλάθοντο,
Οὐδ' ἐπὶ θαυμασίοισι τόσοις θάρσησαν Ἄνακτι.
Ἀλλ' ὀλιγοδρανίῃ βιοτὴν κενεαυχέ' ἰδόντες,
Ῥίμφα διωκοπένων ἐτέων ἐξέφθιθεν αὔτως.
Ἆ δειλοί ! τότ' ἄνακτα καταφθίμενοι ποθέεσκον,
Ἐξ ἠοῦς μιν ἀρωγὸν ἀνηυτεσκον ἰόντες,
Πληθὺν φραζόμενοι προτέρων εὐεργεσιάων,
Ὧν σφισιν ἐγγυάλιξεν, ἐλεύθερον ἦμαρ ὀπάζων.
Οἱ δὲ μιν ἀμφαγάπαζον ἑοῖς περὶ χείλεσιν ἄκροις,
Γλώσσης ψευδαλέης μειλίγμασι κωτίλλοντες.
Οὐ γὰρ ἔχον κραδίας ἰθύφρονας οὐδὲ νόημα,
Οὐδ' ἐπὶ συνθεσίῃ σφετέρῃ συμφράδμονα πίστιν.
Ὦ βασιλεῦ, σὺ δὲ πάντοτ' ἔχεις οἰκτίρμονα βουλὴν,
Καί σφεων ἀμπλακίῃσιν ἱλάσσεαι (67), οὐδ' ἐναρίζεις·
Ἀλλὰ παλίνοντον δαμάσας μεγαλήτορα θυμὸν,
Ἐσσυμένως σέο μῆνιν ἀναπτομένην κατερεύκεις (68).
Οἶσθα γὰρ ἀδρανέων μερόπων γένος οἷον ἐτύχθη,
Οἷς βίος οὐ ληϊστὸς ἐπὴν ἀΐδης μιν ἐρύξῃ.

Ἆ ! πόσα μιν θώρηξαν ἐποτρύνοντες ἐρήμῳ,
Καί οἱ θυμὸν ὄριναν ἐν εἴδεσι (69) πολλὸν ἀνύδροις,

Πὰρ θέμιν ὑψίστοιο Θεοῦ πειρώμενοι ἀλκῆς,
Καὶ μύθοις ἐρέθοντες Ἀκήρατον Ἰσραήλου.

A Sibilo hibernis similiter strepentes fluentis,
Panem indigentibus unde tot suppeditet,
Aut unde populis paret mensam?
Hæc animum armarunt magnanimi Regis,
Quorum gratia Jacobum vehemens combussit ignis,
Et ira improvisa urgebat Israelem,
Quia non confidit cœlesti Regi :
Divino autem non omnino habuerunt in lumine voluntatem.

Desuper æthereis nubibus mandavit Pastor,
Cœlestium vero vestibula cito jussit portarum.
Pluit vero notum dulce ipsis manna ad manducandum,

Panem cœlestem manducare apposuit mortalibus :
Angelicum convivium mortali dedit generi :
Parabilem ipsis cibum Deus largitus est multum.
B Ventum quidem procellosi austri contraxit flare,
Misit vero horrisoni Africi flatum.
Ultroneas ipsis carnes velut pulverem præbuit,
Arenam vero tanquam volatilia dedit pennata maris.

Et ea quidem repente in cœtu ceciderunt virorum,
In circuitu directa variorum tentoriorum.
Epulati vero simul omnes repleti sunt cibo,
Et ipsis cupientibus gratas præbuit dapes,
Neque desiderio privavit appetentes suo.
Nondum dapes finitæ erant, satietate vero adhuc indigebat animus,

Et eos Immortalis invasit ira parata,
Interitum improvisum multorum faciens capitibus :
Robustissimosque impedivit nobilis Israelis.
C Sed enim neque in his nequitiæ obliti sunt,
Neque in mirabilibus tantis confiderunt Regi.
Sed imbecillitate vitam vanam videntes
Cito fugientium annorum, defecerunt frustra.
O miseri ! tunc regem pereuntes desiderabant,
Ex aurora eum adjutorem invocabant accedentes,
Multitudinem cogitantes priorum beneficiorum,
Quorum sibi præbuit liberum diem concedens.
Ipsi vero eum dilexerunt suis in labiis extremis,
Linguæ falsiloquæ blandimentis garrientes.
Non enim habebant corda recta neque intellectum,
Neque in fœdere suo unanimam fidem.
O Rex, tu vero semper habes misericors consilium,
Et eorum propitiaberis criminibus, neque interficis,
Sed reducem domans magnanimum animum,
D Celeriter tuam iram accensam cohibes.
Scis enim fragilium hominum genus quale sit,
Quibus vita non rediens, postquam orcus eam cohibuerit.

Ah ! quanta armarunt eum provocantes in deserto,
Et ipsi animum concitaverunt in formis multum inaquosis.

Præter fas altissimi Dei tentantes robur,
Et verbis irritantes Immaculatum Israelis.

(67-68) Κατερεύκεις. Legendum, κατερύκεις. Sic Hom. *Od.*, I, 119 :
Ἄγριαι· οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει·
ubi duo ultimæ syllabæ ῥύκει spondeum efficiunt ; et sic semper in verbo ἐρύκω littera υ producitur. Edit.

(69) Εἴδεσι. Forte, οὔδεσι, *terris*. Edit.

Quo pacto laborum manus almæ obliti sunt,
Ægyptiorum ut omnes liberavit servitutibus,
Ægypto autem ut paravit divina signa faciens,
Cæterum super Taneos planitiem miranda peragens.
Sanguis quidem erat aqua, priorem vero negavit formam.
Putei vero mutati sunt, dulcem vero mentiti sunt gustum.
Primum quidem cynomya invasit omnivora terram.
Rana inde postea accedens populata est agros,
At ærugini floridum fructum dedit;
Acerbe vero metens labores terræ locusta perdidit;
Frigida vero vitifera corrumpebatur terra grandine,
Et densa morus tristi arescebat pruina.
Ictu quadrupedum greges occidit grandinis,
Et possessionem suam depascebat ardens flamma.
Sed neque sic cessavit, semper sibi iram adaugens,
Iram et indignationem gravem æque luctuoso labori.
Spiritibus æthereis immitibus imperans,
Furori concitato damnosam paravit viam.
Neque necatis animabus parcebat omnino:
Sed et rura pascentes greges compedivit strage.
Ah! tellus primogenitorum quantorum lamentabatur mortem,
Ut vidit sepultorum filiorum primiferam juventutem.
Cæterum Rex suum populum veluti pulchras liberavit oves,
Splendidum tanquam ovile per montes longos pascens,
Fiduciæ fidentes et ducis vi.
Hostes vero operuit suos ingens fluctus maris.
Ipsi quidem utique consilio montem accedebant Immortalis,
Inclytum montem quem antea chara acquisierat manu.
Cæterum Rex incolas priores ejecit terræ,
Ipsos vero introducens sorte divisit agros,
Corradicans per genera cum tabernaculis suis.
Ipsi vero adhuc tentaverunt vim irritantes Regis,
Animum avertentes suis a testimoniis,
Patrantes priorum iniqua opera patrum;
Imbellem vero tanquam arcum habebant varium nocumentum,
Immortalem verticibus montanis irritantes,
Et ei concitaverunt suis animos idolis.
Hinc audiens neglexit Deus improbum consilium,
Statim vero Israelem vituperavit antea admirandum.
Silomæ vero dissipavit amicum Deo gratum fanum.
Non enim calamitosis contubernalis erat mortalibus
Potentiæ vero obliti sunt, præbuit vero ipsam prædonibus.
Et suum hostibus prædam dedit decus.
Non adhuc gladius cessavit semper ipsos interficiens:
Quos vero valde diligebat, caro projecit auxilio.
Miserabiliter quidem juvenes devoravit divinus ignis

A Πῶς μόχθων παλάμης ζωαρκέος ἐξελάθοντο,
Αἰγυπτίων ὡς πάντας ἐρύσατο δουλοσυνάων,
Αἰγύπτῳ δ' ὡς τεῦξεν ἀθέσφατα σήματα πρήξας,
Αὐτὰρ ὑπὲρ Τάνιος πεδίον θηητὰ τελέσσας!
Αἷμα μὲν ἦεν ὕδωρ, προτέρην δ' ἠρνήσατο μορφήν.
Φρείατα δ' ἤλλαχθεν, γλυκερὴν δ' ἐψεύσατο γεῦσιν·
Πρῶτον μὲν κυνόμυια μετέστιχε παμφάγος αἶαν·
Βάτραχος ἔνθεν ἔπειτα μολὼν ἀλάπαξεν ἀρούρας,
Αὐτὰρ ἐρυσσίβῃ πολυανθέα καρπὸν ἔδωκεν.
Ὀξέα δ' ἀμώωσα πόνους χθονὸς ἀκρὶς ἔπερσε·
Ψυχρῇ δ' ἀμπελόεσσα κατέφθιτο γαῖα χαλάζῃ,
Καὶ στιβαρὴ συκάμινος ἀμειδεῖ τέρσετο πάχνῃ.
B Ῥιπῇ τετραπόδων ἀγέλας ἐνάριξε χαλάζης,
Καὶ κτῆσιν σφετέρην κατεβόσκετο καιομένη φλόξ.
Ἀλλ' οὐδ' ὡς ἀπέληγεν, ἀεί σφισι μῆνιν ἀέξων,
Μῆνιν καὶ κότον αἰνὸν ὁμῶς βαρυπενθέϊ μόχθῳ.
Πνεύμασιν αἰθερίοισιν ἀμειλίκτοισι κελεύων,
Θυμῷ ὀρινομένῳ πολυπήμονα τεῦξεν ἀταρπὸν,
Οὐδὲ καταφθιμένων ψυχέων περιφείδετο πάμπαν·
Ἀλλὰ καὶ ἀγρονόμους ἀγέλας ξυνέδησεν ὀλέθρῳ.
Ἆ! χθὼν πρωτοτόκων ὁπόσων ὠδύρατο πότμον,
Ὡς ἴδε θαπτομένων τεκέων πρωτάγριον ἥβην!
Αὐτὰρ Ἄναξ ἑὸ λαὸν ὅπως καλὰ ῥύσατο μῆλα,
Ἀγλαὸν οἷάτε πῶϋ κατ' οὔρεα μακρὰ νομεύων,
C Ἐλπίδι πιστεύοντα καὶ ἡγεμονῆος ἐρωῇ.
Δυσμενέας δ' ἐκάλυψεν ἑοὺς μέγα λαῖτμα θαλάσσης.
Οἱ μὲν ἄρ' ἐννεσίῃς ὄρος ἔστιχον Ἀθανάτοιο,
Κλεινὸν ὄρος, τὸ πρόσθε φίλη κτεατίσσατο χείρ!.
Αὐτὰρ Ἄναξ ναέτας προτέρους ἐξήλασε γαίης,
Αὐτοὺς δ' εἰσαγαγὼν κλήρῳ διεδάσσατ' ἀρούρας,
Ῥιζώσας κατὰ φῦλα μετὰ κλισίῃσιν ἑῇσιν.
Οἱ δ' ἔτι πειρήσαντο βίην ἐρέθοντες Ἄνακτος,
Θυμὸν ἀπαινύμενοι σφετέρων ἀπὸ μαρτυριάων,
Ῥέζοντες προτέρων ἀθεμίστια ἔργα τοκήων·
Ἀπτόλεμον δ' ἀνὰ τόξον ἔχον στρεψαύχενα λώβην,
Ἀθάνατον κορυφῇσιν ὀρεσσιβάτοις ἐρέθοντες,
D Καί οἱ ἐποτρύνεσκον ἑοῖς φρένας εἰδώλοισιν.
Ἔνθ' ἀΐων ἀθέριζε Θεὸς κακοεργέα βουλὴν,
Αὐτίκα δ' Ἰσραῆλον ὀνόσσετο (70) τὸν πρὶν ἀγητόν·
Σιλώμης δ' ἐκέδασσε φίλον θεοτερπέα νηόν.
Οὐ γὰρ διζυροῖσιν ὁμέστιος ἔσκε βροτοῖσιν.
Ἐκ δὲ βίης ἐλάθοντο, πόρεν δέ ἑ ληϊστῆρσι,
Καὶ σφέτερον δηΐοισιν ἕλωρ δωρήσατο κάλλος.
Οὐκέτ' ἄορ λώφησεν ἀεί σφεας ἐξεναρίζον·
Οὓς δὲ λίην ἀγάπαζε, φίλης ἀπέσιψεν ἀρωγῆς,
Οἰκτρὰ μὲν ἠϊθέους κατεβόσκετο θεσπέσιον πῦρ,

(70) Ὀνόσσετο. Forte, ὀνόσσατο. Edit.

Οὐδέ τις οἶον ἰὼν (71) ὀλοφύρατο παρθενικάων,
Οὐ ξίφεϊ θνήσκοντας ἀνέστενον ἀρητῆρας,
Οὐδέ τις ὀλλυμένης πολιὴν ᾤκτίσσατο χώρης·
Εἰσόκεν ὑπνώωντι Θεὸς πανομοίιος ὦρτο,
Καρτερῷ ἐξ οἴνοιο καρηβαρέοντι ἐοικώς.
Ὀρνύμενος δ' ἕδρῃσι κακῶς ἐδάμασσεν ἀλείτας,
Καί σφισι μῶμον ἔδωκεν ἐπ' ἀλήκτοισι γενέθλης.

Δὴ τότ' Ἰωσήφου κέδασεν δόλον αἰγλήεντα·
Ἐφρέμου αὖτ' ἐρατεινὸν ἄφαρ μωμήσατο φῦλον.
Κλεινὸν δ' ἀντιθέου ἐπελέξατο φῦλον Ἰούδα.
Θεῖον ὄρος Σιῶνος, ὅπερ φρεσὶν ἀμφαγαπάζει,
Νηὸν ἑὸν τέκτηνεν Ἄναξ ἅτε μουνοκερῆος,
Καὶ γαίῃ κατέπηξε διηνεκέεσσι γενέθλαις.
Τῆμος ἑὸν Δαυΐδον Ἄναξ ἐπελέξατο δοῦλον,
Εὖ δέ μιν ἐκ πολέων ἐκαλέσσατο μηλοβοτήρων
Ἐξόπιθέν μιν ἄειρεν ἀμελγομένων τότε λαῶν,
Θεσπίσας Ἰάκωβον ἑὸν θεράποντ' ἀγελάζειν·

Καὶ κτέρας ἀμφιβόητον ἔχειν μέγαν Ἰσραῆλον.
Καί μιν μειλιχίῃ κραδίης ἐνόμευσε δικαίως,
Καὶ χειρῶν πινυτῇς σφετέρου ἡγήσατο λαοῦ.

## ΨΑΛΜΟΣ ΟΗ'.

Ἀσάφου λιγυρὸν ὄγδοον ἀμφὶ μέλος,
Ἑβδομάτης δεκάδος κῶμος ἀριστοπόνος.
Ἄγρια φῦλα τεῆς ἐπέβη, Πανυπέρτατε, μοίρης,
Ἄχραντον δ' ἐμίηναν ἀθεσμοσύνῃ σέο νηόν.

Οἳ ῥ' Ἱερουσαλὴμ φρουρὸν θέσαν ὥς τιν' ὀπώρης·

Πτηνοῖς αἰθερίοις σέο λείψανα θῆκαν ἐρίθων·

Σῶν ὁσίων θήρεσσιν ἑλώρια σάρκας ἔθεντο.

Ὡς δ' ὅθ' ὕδωρ δαπέδῳ δμώων σέθεν αἷμα χέαντο

Ἀμφ' Ἱερουσαλὴμ, χήτει μάλα κηδεμονήων.
Ἀνδράσι λωβητοὶ γεγενήμεθα πάγχυ θυραίοις,
Οἷα περικτιόνεσσι γέλως καὶ παίγνιον αἰνόν.
Εἰπὲ, Μάκαρ· Τέο μέχρι μένεις κεχολωμένος ἡμῖν,
Καὶ σεο μῆνις ὄρωρε διαμπερὲς οἷά τε πυρσός;
Χεῦε κότον μετὰ φῦλα, τάπερ τεὸν οὐ μάθε κῦδος·

Καὶ μετὰ κοιρανίας, αἳ σῆς ἀμέλησαν ἀρωγῆς·
Οὕνεκ' Ἰάκωβον πινυτὸν κατέδοντο κακοῖσι,
Καί οἱ χῶρον ἑλόντες ἀγακλέα θῆκαν ἔρημον.
Αὐτὸς, Ἄναξ, προτέρων ἐπιλήθεο δυσφροσυνάων·
Οἰκτιρμοὺς κατάπεμπε θοῶς, Μάκαρ, ἄμμιν ἀρωγούς.
Πτωχοὶ γὰρ μετὰ πᾶσι λίην γεγενήμεθα μοῦνοι.
Ἀλκτὴρ μοῦνος ἐὼν καὶ ἀεὶ Θεὸς ἄμμιν ἀρήγοις·
Ῥύεο σοὺς ἱκέτας, Βασιλεῦ, σέθεν εἵνεκα τιμῆς.

Οὔνομα σὸν βροτέῃσιν ἱλάσσεται ἀμπλακίῃσι,
Μήποτε φῦλ' ἐρέῃ· Πῇ δὴ Θεὸς ἔπλετο κείνων;
Ἔθνεα μὴν ἀναφανδὸν ἐν ὀφθαλμοῖσιν ἴδοιτο
Δμώων ἔκδικον αἵματος ὅ περὶ σεῖο ἔχευον.

Ἀμώων ἰλλομένων στοναχὴ σέθεν ἵξεται ὄσσων.

(71) Οἶον ἰών. Forte, οἶτον ἰδών. EDIT.

A Neque ulla velut prodiens luxit virginum,
Non gladio necatos ingemuit sacerdotes.
Neque ulla pereuntis canitiem miserata est regionis
Donec dormienti Deus similis excitabatur,
Potenti propter vinum vertigine laboranti similis.
Surgens vero sedibus male domuit errones,
Et ipsis opprobrium dedit in non desinentibus sæculis.

Sane tunc Josephi dissipavit fraudem splendidam:
Ephremi rursum amabilem cito subsannavit tribum.
Nobilem vero divini elegit tribum Judæ.
Divinum montem Sionis, quem animis diligit,
Templum suum fabricavit Rex sicut unicornis,
Et terræ defixit sempiternis generationibus.
Tunc suum Davidem Rex elegit servum,
B Probe vero eum ex multis vocavit opilionibus.
A tergo eum sustulit emulgentium tunc populorum,
Sancte præcipiens Jacobum suum famulum congregare,
Et hæreditatem claram habere magnum Israelem.
Et eum benignitate cordis pavit juste,
Et manuum prudentiis suum duxit populum.

## PSALMUS LXXVIII.

*Asaphi sonorum octavum circa carmen,*
*Septimæ decadis cantus industrius.*
Feræ gentes tuam ascenderunt, Summe, partem,
Impollutum vero polluerunt iniquitate tuum templum.
Qui Jerusalem custodem posuerunt ut quemdam pomorum.
C Volatilibus æthereis tuorum reliquias posuerunt servorum.
Tuorum sanctorum bestiis dilaniationes carnes posuerunt.
Velut vero aquam pavimento servorum tuorum sanguinem effuderunt.
Circum Hierusalem, penuria valde curatorum.
Viris contumeliæ obnoxii facti sumus omnino vicinis
Tanquam vicinis risus et ludus gravis.
Dic, Beate, quousque manes iratus nobis,
Et tua ira concitata est semper velut ignis?
Effunde iram in gentes, quæ tuam non didicerunt gloriam;
Et in regna quæ tuum spreverunt auxilium.
Quia Jacobum prudentem comederunt malis,
Et ei locum occupantes clarum, posuerunt desertum
D Ipse, Rex, priorum obliviscere stultitiarum,
Commiserationes mitte cito, Beate, nobis adjutrices.
Pauperes enim inter omnes valde facti sumus soli.
Auxiliator solus exsistens, et semper Deus nobis opituleris;
Libera tuos supplices, Rex, tuum propter honorem.
Nomen tuum mortalibus propitium sit delictis,
Ne quando gentes dicant: Ubi utique Deus est eorum?
Nationes vero palam in oculis videant
Servorum vindictam sanguinis quem prius fuderunt tuorum.
Coram vinctorum gemitus tuis veniet oculis.

Quanta vero Immortalis brachii est potentia,
Tantum interfectorum injuste curam habe filiorum:
Septies in sinum repone rursum gravia vicinis,
Contumeliæ qua exprobraverunt immensum tuum
[honorem.
Nos enim tuus populus, Rex, et alumni pascuæ.
Pro beneficentia tibi, Rex, cantabimus laudem,
De generatione in generationem tuam gloriam ce-
[lebremus.

## PSALMUS LXXIX.

*Asaphi prudentis testimonium carminum,*
*Operum bonus est cantus invicem respondentium,*
*Nonus septimam continens decada.*

Aspice honoratum pascens, Beate, Israelem,
Ipse qui Josephum ducens velut ovem auges.
Manifestare mihi conscendens super æternos tuos
[cherubim :
Coram Benjaminoque et Ephremo et Manasse :
Tuam potentiam eleva, et nos veni servaturus.
Facile conversus voces rursum nos, Pastor,
Vitæ vero nostræ præmittas tui lumen vultus.
Domine omnis roboris, Rex maxime omnium,
Audi, Beate, quousque supplicanti irasceris ?
Panem lacrymosum commode nobis præbens,
Et potum metiens doloribus plenum nos potans.
Nos inimicis cum viris jurgium dedisti,
Et frequentem exhibuisti meis hostibus risum.
Nos conversus, virtutum Deus, ad te vocabis,
Vitæ vero nostræ palpebrarum tuarum lumen mittas.
Vineam de Ægypto transtulisti floridam.
Exscindens vero plantasti nobilis gentes terræ.
Ante vero ipsi longas procedens complanasti vias,
Et radices plantasti, totam vero impleverunt terram.
Montes quidem umbrosis operiebantur infiniti fru-
[ticibus,
Et Beati cedros arbusta tegebant proceras.
Terræ rami extendebantur usque ad infructuosum
[mare,
Et usque ad flumina propagines exorientes tende-
[bant.
Quare ipsi tutum vallum, Rex, manibus evertisti,
Et ipsam vindemiant prætergredientes viatores ?
Ferus de silva veniens vastavit aper,
Et eam a grege abhorrens depascebatur rabiosus sus.
Dux virtutum mihi convertas vultum :
De cœlo extendas providum oculum,
Ut mihi placidæ vitis viridis sanes dolorem,
Et eam præpares erigens commode.
Tuæ enim dexteræ amabile opus est.
Hominis charum filium, quem fortem ipse statuisti.
Suffossa igni rapido succensaque,
Tui vero vultus increpatione, Rex, summe, peribunt,
Tuæ super virum quidem dexteræ manus tua fiat,
Hominis charum filium, quem fortem ipse statuisti.

A Ὅσση δ' Ἀθανάτοιο βραχίονός ἐστιν ἐρωή,
Τόσσον ἀποφθιμένων ἀδίκως περικήδεο παίδων·
Ἑπτάκις ἐς κόλπον μετάθες πάλιν αἰνὰ θυραίοις,
Ὕβριος ἧς νείκεσσαν ἀπειρεσίην σέο τιμήν.
Ἡμεῖς γάρ σεο λαὸς, Ἄναξ, καὶ θρέμματα ποίης.
Ἀντ' εὐεργεσίης σοι, Ἄναξ, ἀναμέλψομεν αἶνον,
Ἐκ γενεῆς γενεήνδε τεὸν κλέος ὑμνήσαιμεν.

## ΨΑΛΜΟΣ ΟΘ'.

Ἀσάφου πινυτοῦ μαρτυρίην (72) μελέων.
Ἔργων ἐσθλὸς ἔφυ κῶμος ἀμειβομένων,
Εἴνατος ἑβδομάτην ἀμφιέπων δεκάδα.

Δέρκεο τιμήεντα νέμων, Μάκαρ, Ἰσραῆλον,
Αὐτὸς ὅς Ἰώσηφον ἄγων ἅτε μῆλον ἀέξεις.
B Φαίνεό μοι βεβαὼς ὑπὲρ ἄφθιτα σεῖο χερουβίμ·
Ἄντα Βενιαμίνου τε καὶ Ἐφρέμου ἠδὲ Μανασσοῦ,
Σεῖν βίην ἀνάειρε, καὶ ἡμέας ἐλθὲ σαώσων.
Ῥεῖα μεταστρεφθεὶς καλέοις πάλιν ἡμέας, Ἐσσὴν,
Ζωῇ δ' ἡμετέρῃ προέῃς σέο φέγγος ὀπωπῆς.
Κοίρανε παντοίου σθένεος βασιλεύτατε πάντων,
Κλῦθι, Μάκαρ· τέο μέχρι λιταζομένῳ χαλεπαίνεις ;
Ἄρτον δακρυόεντα κατὰ χρέος ἄμμιν ὀπάζων,
Καὶ πόμα μετρήσας ἀχέων πλέον ἄμμε ποτίζων.
Ἡμέας ἀντιβίοισι μετ' ἀνδράσι νεῖκος ἔδωκας,
Καὶ πυκινὸν προὔθηκας ἐμεῦ δηίοισι γέλωτα.
Ἄμμε μεταστρεφθεὶς, σθενέων Μάκαρ, εἰς σὲ καλέσ-
[σεις (73),
Ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἰάλλοις.
C Ἄμπελον Αἰγύπτοιο μετήγαγες ἀνθεμόεσσαν,
Ἐκ δὲ ταμὼν ἐφύτευσας ἀγακλέος ἔθνεα γαίης.
Πρόσθε δέ οἱ ταναὰς προμολὼν λείηνας ἀταρποὺς,
Καὶ ῥίζας ἐφύτευσας, ὅλην δ' ἔπλησαν ἄρουραν.
Οὔρεα μὲν σκιεροῖς ἐκαλύπτετο μυρία θάμνοις,
Καὶ Μακαρος κέδρους ἀναδενδράδες ἔσκεπον ἄκρας.
Γῆς πτόρθοι τανύοντο δι' ἀτρυγέτοιο θαλάσσης,
Και ποταμῶν ὅρπηκες ὑπερτέλλοντες ἔβαινον.
Τίπτε οἱ ἀσφαλὲς ἕρκος, Ἄναξ, χείρεσσι καθεῖλες,
Καί μιν ἀποτρυγόωσι παραστείχοντες ὁδῖται ;
Δεινὸς ἀπὸ δρυμοῖο μολὼν λυμήνατο κάπρος,
Καί μιν ἀτιμαγέλης κατεβόσκετο λυσσαλέος σῦς.
Ἡγητὴρ σθενέων μοι ἐπιστρέψειας ὀπωπήν·
D Οὐρανόθεν τανύσειας, Ἄναξ, πανεπίσκοπον ὄμμα,
Ὄφρα μοι ἡμερίδος χλοερῆς ἰήσεαι ἄλγος,
Καί μιν ἑτοιμάσειας ἀναστήσας κατὰ μοῖραν.
Σῆς γὰρ δεξιτερῆς πολυήρατον ἔργον ἐτύχθη.
Ἀνθρώπου φίλον υἱὸν, ὃν ἄλκιμον αὐτὸς ἀνέγνως.
Ἀμφισκαπομένη πυρὶ λάβρῳ καιομένη τε,
Σεῖο δ' ὀπωπῆς (74) ἀπειλῇ, Ἄναξ πανυπέρτατ', ὀλοῦν-
[ται.
Σῆς ἐπὶ φῶτά γε δεξιτερῆς χεὶρ σεῖο γενέσθω,
Ἀνθρώπου φίλον υἱὸν, ὃν ἄλκιμον αὐτὸς ἀνέγνως·

(72) Μαρτυρίην. Forte, μαρτυρίη. Edit.

(73) Καλέσσεις. Forte, καλέσσοις, vel potius, καλέσσαις. Edit.

(74-75) Σεῖο δ' ὀπωπῆς. Forte, σεῖό τ' ὀπ. Edit.

Ἡμεῖς δ' ἀθανάτης ἀποπαυσόμεθ' οὔποθ' ὁδοῖο.
Τεῦχε φάος βιότοιο, λιταζομένων δ' ὑπακούσαις.
Ῥεῖα μεταστρεφθεὶς καλέσεις πάλιν ἡμέας, Ἐσσήν·
Ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἰάλλοις.

## ΨΑΛΜΟΣ Π'.

Ἀσάφου ληναῖος ἀγακλήεις πέλει ὕμνος,
Ὀγδοάτης δεκάδος τερπνὸν ἄκος φορέων.

Χαίρετ' ἀλεξικάκῳ περιθαρσέες αἰὲν Ἄνακτι·
Κῶμον Ἰακώβου ἀλαλάξατε Παμβασιλῆι.
Ψαλμὸν δεξάμενοι λιγυρὸν δότε τύμπανον ἡδὺ,
Εὐκέλαδον κιθάρην, μετὰ δὲ ψαλτήριον ἱρόν·
Μηνὸς ἀπαρχομένοιο φίλοι σαλπίσατε ἄνδρες,
Ἤματι τῷ, ὅτε κάλλος ἀριφραδές ἐστιν ἑορτῆς.
Κλεινὸν ἀεὶ θέσπισμα, τόδ' Ἰσραῆλος ἔδεκτο,
Εὐδικίην Βασιλῆος Ἰακώβοιο φυλάσσειν,
Τὴν μὲν Ἰώσηφος παρεδέξατο μάρτυρα θεσμῶν,
Ἐρχόμενος τὸ πάροιθεν ἀπ' Αἰγύπτοιο πολήων,
Γλῶσσαν ἀριζήλην ἀΐων, ἧς νῆϊς ἐτύχθη.
Νῶτα δυσηλεγέων ἀνεπαύσατο φαίδιμα μόχθων,
Ο πρὶν ὑποδρήσσων ὀλοῷ παλάμῃσι κοφίνῳ.
Δὴ τότε πῶς βοάσκες; Ἐγὼ δέ τοι ἦλθον ἀμύντωρ,
Οὐδ' ἔλαθες ὀνοφερῇ με καταιγίδι κευθόμενος πῦρ.
Σεῖο δὲ διψαλέου ἑλόμην καὶ ἐν ὕδατι πεῖραν.

Κέκλυθι, λαὸς ἐμὸς, λέξω δέ τοι αἴσιμα μύθοις·
Μήτι ἐμῶν ἐπέων ἐπιλήσεαι Ἰσραῆλε,
Οὔτις τοι νέος ἄλλος ἀνειρομένων Θεὸς ἔσται,
Οὐδὲ Θεὸν ξεῖνον γουναζόμενος λιτανεύσεις.
Αὐτὸς γὰρ Θεός εἰμι σέθεν καὶ ἀγήραος Ἐσσὴν,
Ὅς σ' ἀνάγων ἐσάωσα καὶ ἐκ Νειλώϊδος αἴης.
Εἰ δέ τινος χατέεις, τάνυσον στόμα, καὶ τόδε πλήσω.

Νήπιος ἡμετέρων ἐπέων οὐκ ἔκλυε λαὸς,
Οὐδέ τί μ' Ἰσραῆλος ἐβούλετο φάεσι λεύσσειν.
Τοὔνεκά μιν προέηκα νόῳ καταθύμια ῥέζειν·
Νισσέσθων σφετέρῃς ἀεσιφροσύνῃσιν ὀπηδοί.
Εἰ γὰρ ἐμῆς φθογγῆς ἀποφώλιος ἔκλυε λαὸς,
Εἰ δράμεν ἡμετέροισιν ἐπ' ἴχνεσιν Ἰσραῆλος,
Καὶ κέν οἱ ἀντιβίους πέλασα χθονὶ καὶ δίχα μόχθου,

Καὶ κέ μιν ἐχθαίροντας ἐμῇ πάρος ὤλεσα χειρί.

Ἐχθροὶ ἐπεψεύσαντο μεγασθενέτην Βασιλῆα·
Τῶν δὲ διηνεκέως βιότου τροφὸς ἔσσεται ὥρη,
Καὶ σφισιν, Ἀθάνατος, ζωαρκέα πυρὸν ἔδωκας,
Καὶ μέλιτος πέτρηθεν ἀκηρασίου κόρον ἴσχειν.

## ΨΑΛΜΟΣ ΠΑ'.

Πρῶτον ἐπ' ὀγδοάτῃ δεκάδος μέλος ἐσθλὸν Ἀσά-
[φου.

Ἄφθιτος ἐν κλισίῃσι θεῶν πανυπέρτατος ἔστη·
Ἑζόμενος δ' ἀνὰ μέσσον Ἄναξ μακάρεσσι δικάζει.
Μέχρι τεῦ ἀχράντοιο δίκης οὐ κρίνετε θεσμοῖς,
Ἄζεσθε δὲ πρόσωπα ὑπερφιάλων ἀλεγεινῶν;
Ὀρφανικοῦ καὶ ἀκτεάνου διαείσετε ὕβριν·
Δειλῷ τ' ἠδὲ πένητι δίκης ἰθύνατε θεσμούς.
Ἀκτέανον ῥύσασθε ἀμηχάνου, ἠδὲ πενιχρὸν,
Καί μιν ἀνιαρῆς παλάμης ἁρπάξατ' ἀλιτροῦ.

A Nos vero immortali recedemus nunquam via.
Fac lumen vitæ, supplicantes vero exaudias.
Facile conversus vocabis rursum nos, Rex.
Vitæ vero nostræ palpebrarum tuarum lumen mittas.

## PSALMUS LXXX.

*Asaphi torcularis nobilis est hymnus:*
*Octavæ decadis jucundum remedium ferens.*

Gaudete salutari fidentes semper Regi,
Cantum Jacobi jubilate omnium Regi.
Psalmum sumentes sonorum date tympanum suave,
Sonoram citharam, postea vero psalterium sacrum.
Mense ineunte chari buccinate viri,
Die, quando pulchritudo præclara est festi.
Nobile semper responsum quod Israel suscepit,
B Justitiam regis Jacobi custodire,
Josephus quidem admisit testem sanctionum,
Discedens antea ab Ægypti urbibus,
Linguam disertam audiens cujus ignarus erat.
Dorsa a gravibus refocillavit fortia laboribus.
Antea serviens pernicioso manibus cophino.
Sane tunc clamabas, ego vero tibi veni vindex,
Neque latuisti atra me tempestate occultans ignem.
Tui vero siticulosi cepi etiam in aqua experien-
[tiam.

Audi, populus meus, dicam vero tibi æqua verbis.
Non aliquid meorum verborum obliviscaris, Israel,
Nullus tibi novus alius interrogatorum Deus erit.
Neque Deum peregrinum genu flectens adorabis,
Ipse enim Deus sum tuus et immortalis Pastor,
Qui te educens servavi etiam ex Niliaca terra.
C Si autem aliqua re indiges, dilata os et illud im-
[plebo.

Insipiens nostra verba non audivit populus,
Neque quid me Israel voluit luminibus inspicere;
Itaque eum dimisi animo grata facere.
Eant suis stultitiis obsequentes.
Si enim meam vocem stolidus audisset populus,
Si cucurrisset nostris in vestigiis Israel,
Etiam utique ei hostes admovissem terræ etiam
sine labore,
Etiam utique ejus oseres mea antea perdidissem
[manu.

Inimici mentiti sunt potenti Regi.
Horum semper vitæ alumnus erit tempus,
Et ipsis, Immortalis, vitale triticum dedisti,
D Et mellis de petra puri satietatem habere.

## PSALMUS LXXXI.

*Primum supra octavam decadem carnem bonum Asa-*
*[phi.*

Æternus in tentoriis deorum summus stetit,
Sedens vero in medio Rex beatis dijudicat.
Usquequo puræ justitiæ non judicatis legibus?
Veneramini vero facies superborum molestorum?
Pupilli et egeni cognoscetis contumeliam,
Miseroque et pauperi dirigite leges.
Egenum liberate inopia et pauperem,
Atque ipsum acerba de manu eripite peccatoris.

A Stolidi non consideraverunt cum animis neque intellexerunt,
Quoniam temere perniciosam persequebantur caliginem.
Inde commoveantur totius circa fundum terræ.
Ipse ultro dixi, Beati antea nos esse,
Et filios Regis nobilis altissimi.
Moriemini vero occiduis in terra æque mortalibus,
Pernicioso cadentes similes principi.
Surge, Domine, et mihi terræ tuæ disceptes,
Quoniam tu hæreditate possidebis gentes omnes.

## PSALMUS LXXXII.

*Octavæ decadis etiam secundus hymnus Asaphi.*
Æterne, quis utique tibi similis erit alius?
Ne unquam sileas, neque animis blandus sis,
B Quoniam tuorum crebro hostium fremitus excitatus est.
Qui vero te oderunt, extollunt capita,
Consilium machinati sunt tuo noxium populo,
Adversus vero tuos sanctos perniciosa excogitarunt.
Venite, agite sane, chari viri, quo pacto ipsos perdamus,
Nomen vero exstinguamus de terra Israelis.
Statim vero surgentes dolosi exploraverunt,
Pactum inconspectu, Beate, tuo commenti sunt
Idumæorum gentes, et filii Ismaelis.
His simul Moabus, superbique Agareni,
Ammones Gebalique, et filii Amalechi,
Alienigenæque marinis simul surgentes Tyriis.
C Neque quidem Assyriorum relinquebatur populus infinitus,
Sed armati venerunt duces filiis Loti.
Fac ut Sisaræ fecisti aliquando et Madiam,
Aut in hiberno Cissorum flumine Jabinis,
Qui antea in Aendor domiti sunt gravi labore,
Stercorique apparuerunt similes super terram,
Sicut pulvis, quem cito per terram propellit ventus.
Horum principes, Rex, summe, facies
Orebo, Zebo, Zebeo, et Salmano pares,
Omnes qui sunt cum ipsis duces,
Qui antea capere cogitaverunt Dei perelegans altare.
Velut rotam cunctos, Rex, rotundam dederis,
Aut velut aridam stipulam ex adverso procellæ,
D Aut igni depascenti in paludibus crebris etiam silvam,
Aut flammæ friatilium montium concitatæ.
Sic, Beate, valde hos procella tua persequaris,
Furore indomito et crudeli omnes consternans.
Ignominia simul omnibus impleas oculos,
Ut erubescentes tuum nomen quærant.
Perpetuo odiosis concitentur redargutionibus;
Dedecus occupet omnes, simul vero pereant amentia.
Cognoscant pereuntes corde tuum nomen divinum,
Quoniam solus in terra universa altissimus es.

Νήπιοι! οὐ σκέψαντο μετὰ φρεσὶν, οὐδ᾽ ἐνόησαν,
Οὕνεκεν ἀφραδέως ὀλοὴν μετεκίαθον ὄρφνην.
Ἔνθεν ὀρινέσθωσαν ὅλης περὶ πυθμένα γαίης.
Αὐτὸς ἑκὼν ἔφαμην, Μάκαρος πάρος ἡμέας εἶναι,
Καὶ παῖδας Βασιλῆος ἀγακλέος ὑψίστοιο.
Θνήσκετε δὲ φθιμένοισι κατὰ χθονὸς ἶσα βροτοῖσιν,
Οὐλομένῳ πίπτοντες ὁμοίιον ἡγητῆρι.
Ἔγρεο, Παμβασιλεῦ, καί μοι χθονὶ σεῖο δικάζοις,
Οὕνεκα σὺ κλήρῳ κτεατίσσεαι ἔθνεα πάντα.

## ΨΑΛΜΟΣ ΠΒ'.

Ὀγδοατης δεκάδος καὶ δεύτερος ὕμνος Ἀσάφου.
Ἄφθιτε, τίς δή τοι πανομοίιος ἔσσεται ἄλλος;
Μήποτε σιγήσῃς, μηδὲ φρεσὶ μείλιχος εἴης·
Οὕνεκα σῶν πυκινῶς δηίων ὀρυμαγδὸς ἀέρθη.
Οἱ δέ σ᾽ ἀπεχθαίροντες ἀερτάζουσι κάρηνα,
Μῆτιν ἐτεκτήναντο τεῷ δηλήμονα λαῷ,
Ἀμφὶ δὲ σῶν ὁσίων ὀλοφωΐα μητίσσαντο.
Δεῦτ᾽ ἄγε δὴ, φίλοι ἄνδρες, ὅπως σφέας ἐξολέσωμεν,
Οὔνομα δὲ σβέσσωμεν ἀπὸ χθονὸς Ἰσραήλου.
Αὐτίκα δ᾽ ἐγρόμενοι κακομήχανοι ἐσκέψαντο·
Συνθεσίην κατέναντα, Μάκαρ, σέο τεχνήσαντο
Ἰδουμαίων φῦλα καὶ υἱέες Ἰσμαήλου.
Τοῖσιν ὁμοῦ Μωᾶβος ὑπερφίαλοί τ᾽ Ἀγαρηνοὶ,
Ἀμμῶνες Γέβαλοί τε καὶ υἱέες Ἀμαλήχου,
Ἀλλοδαποί θ᾽ ἁλίοισιν ἅμ᾽ ἐγρόμενοι Τυρίοισιν.
Οὐδὲ μὲν Ἀσσυρίων ἀπελείπετο δῆμος ἀπείρων,
Ἀλλ᾽ ἐπιθωρηχθέντες ἔβαν πρόμοι υἱέσι Λώτου
Ἔρξον ὅπως Σισάρᾳ τέλεσάς ποτε καὶ Μαδιάμῃ,
Ἢ μετὰ χειμέριον Κισσῶν ῥόον Ἰαβίνοισιν
Οἳ πρὶν ἐν Ἀενδῶρι δάμεν βαρυπήμονι μόχθῳ,
Κόπρῳ τ᾽ ἐξεφάνησαν ἀλίγκιοι ὑψόθι γαίης,
Οἷα κόνις, τὴν ὦκα διὰ χθονὸς ἤλασ᾽ ἀήτης.
Τῶν δὲ καθηγητῆρας, Ἄναξ πανυπέρτατε, τεύξεις
Ὠρήβῳ, Ζήβῳ Ζεβέῳ καὶ Σαλμάνῳ ἴσους,
Πάντας ὅσοι τελέθουσι μετὰ σφίσιν ἡγεμονῆες·
Οἳ πρὶν ἑλεῖν σκέψαντο Θεοῦ περικαλλέα βωμόν.
Οἷα τροχὸν σύμπαντας, Ἄναξ, περιηγέα δοίης (76),
Ἢ ἅτε καρφομένην καλάμην κατέναντι θυέλλης,
Ἢ πυρὶ βοσκομένῳ κατὰ πίσεα πυκνὰ καὶ ὕλην,
Ἢ φλογὶ καρφαλέων ὀρέων ὑπερορμηθείσῃ.
Ὧδε, Μάκαρ, μάλα τούσδε καταιγίδι σεῖο διώκοις,
Θυμῷ ἀμαιμακέτῳ καὶ ἀπηνέϊ πάντας ἀτύζων.
Αἰσχύνης ἅμα πᾶσα περιπλήσειας ὀπωπὰς,
Ὄφρα κεν αἰδόμενοι τεὸν οὔνομα μαστεύσειαν.
Νωλεμέως στυγεροῖσιν ὀρινέσθωσαν ἐλέγχοις
Μῶμος ἕλοι σύμπαντας, ὁμοῦ δ᾽ ἀπολοίατ᾽ ἀνοίῃ.
Γνοῖεν ἀπολλύμενοι κραδίῃ τεὸν οὔνομα θεῖον,
Οὕνεκα μοῦνος ἐπ᾽ αἶαν ὅλην ὕψιστος ἐτύχθης.

(76) Δοίης. Forte, θείης. EDIT.

## ΨΑΛΜΟΣ ΠΓ'.

Υἱάσιν ἱερὸς ὕμνος ὑπερθύμοιο Κοραίου,
Ὀγδοάτης δεκάδος μέλπετο καὶ τρίτατος.

Ὡς ἐραταὶ κλισίαι σθενέων σέθεν αἰὲν ἔασσιν!

Ἐκ θυμοῦ ποθέω Μάκαρος περιναιέμεν αὐλάς.
Ψυχῇ καὶ μελέεσσι Θεῷ ἐπαγάλλομ' ἐόντι.
Καί γε γὰρ οἱ στρουθὸς καταθύμιον οἶκον ἐφεῦρε,
Καὶ τρυγὼν τεκέεσσιν ἐναίσιμον εὗρε καλιήν·
Βωμοὶ σεῖο, Μάκαρ, σθενέων Θεόν ἐσσι καὶ Ἐσσήν.
Ὄλβιστοι μάλα πάντες, ὅσοι σέο δώματ' ἔχουσιν·
Αἶνον ἀγακλήεντα τεὸν μέλψουσιν ἀοιδαῖς.
Ὄλβιος ὅστις ἀνὴρ παρὰ σοὶ κράτος ἐσθλὸν ἐφεῦρε,

Θυμῷ ἐπεπτεύων καὶ ἐς οὐρανὸν αὐτὸν ἐλάσσαι,
Ἐν κοίλῃ κλαυθμῶνος, ἵνα κλυτὸν εὕρατο χῶρον.
Εὐλογίας θεσμοῖο δοτὴρ κατὰ μοῖραν ὀπάσσαι.
Ἐκ σθενέος νίσσοιντο μετὰ σθένος ὁρμηθέντες·
Ἀμφαδὸν ἐν Σιῶνι θεῶν Θεὸς ὄψεται ὄσσοις.
Κλῦθι, Μάκαρ σθενέων, θεράπων δέ τοι εὔχομαι [εἶναι·
Ἀρχὲ Ἰακώβου, δέξαι νῦν μ' οὔασιν αὐδήν.
Ἄλκαρ ἐμὸν γεγαώς, ποτιδέρκεο σῇσιν ὀπωπαῖς·
Μὴ δὴ σεῖο πρόσωπον, Ἄναξ, Χριστοῖο παρέλθῃς.
Αὐλῆς χιλιάδων προφέρει σέθεν ἦμαρ ἰαύειν.
Βέλτερον ἐν μεγάροισι Θεοῦ καὶ οἰκτρὸν ἀκοῦσαι,
Ἢ κρατερὸν ναετῆρα μετὰ κλισίῃσιν ἀλιτρῶν.

Ὡς ἔλεον καὶ ἀληθείην Θεὸς ἀμφαγαπάζει·
Αὐτὸς κῦδος ἀεὶ καὶ ἑὴν χάριν ἐγγυαλίξει·
Οὐδ' ἀγαθῶν σφετέρων ἀκάκους ποτὲ νόσφιν ἐάσσει.
Ἄφθιτε (καὶ γὰρ αἰεὶ σθενέων Μάκαρ ἔπλεο μοῦνος),
Ὄλβιος οὗτος ἀνήρ, ᾧ κεν φρεσὶν ἐλπὶς ἐτύχθη.

## ΨΑΛΜΟΣ ΠΔ'.

Ὀγδοάτῃ δεκάδι πρὸς τέτρατος ἱερὸς ὕμνος,
Μέλπεθ' ὑπερθύμοιο φίλοις τεκέεσσι Κοραίου.
Σεῖο πάλιν, Βασιλεῦ, μετὰ κήδεα φίλαο γαῖαν·
Αὖθις Ἰακώβου δωρήσαο ληϊδιόνοστον.
Δυσνομίας μεθέηκας ἀπειρεσίας σέο λαῷ·
Παντοίων ἐκάλυψας ἐπ' ὄψεσιν ἀμπλακιάων.
Μήνιος ἐκ πυκινῆς ἀγανόφρονα θυμὸν ἔπαυσας,
Σεῖο μετήμειψας κεκοτηότι θυμὸν ἀνίης.
Ἀλλά γε, φέγγος ἐμόν, στρεφθεὶς πάλιν ἵλαθι τοῖσιν.

Ἡμείων δ' ἀπάλαλκε τεὴν πολυπήμονα μῆνιν,
Μηδὲ τοῖς δμώεσσι διηνεκέως χαλεπήνῃς,
Ἐκ γενῆς γενεήνδε βαρύφρονα μῆνιν ἀέξων.
Αὐτὸς ἐπιστρέψας βιότου χάριν ἄμμιν ὀπάζοις,
Σοὶ δ' ἐπιγηθήσειεν ἀγαλλόμενός σεο λαός.
Θεσπεσίην ἐλεητὺν, Ἄναξ, ἀνάφαινε τεοῖσι,
Δὸς δ' ἐπιδευομένοισιν ἀλεξίκακόν σεο φέγγος.
Πεύσομαι ὅττι κεν αὐτὸς ἐμοὶ Θεὸς ἐξαγορεύσει,
Εἰρήνην σφετέροις πᾶσιν λαοῖσι φυτεύων,
Καὶ νόον οἷς ὁσίοις, καὶ ὅσοι πάλιν εἰσὶ μετ' αὐτοῦ.
Ἔμπα γε μὴν τρομέοντας ἑὸν φάος ἀμφιπολεύσας,
Νωιτέρην κατὰ γαῖαν ὅπως κλυτὸν εὖχος ὀρέξοι.
Ἤντεον ἀλλήλοισιν ἀληθείη τ' ἔλεός τε,

A

## PSALMUS LXXXIII.

*Filiis sacer hymnus magnanimi Coræi.*
*Octavæ decadis cantabatur etiam tertius.*

Quam amabilia tabernacula virtutum tua semper [sunt!

Ex animo concupisco Beati habitare caulas.
Animo et membris Deo exsulto exsistenti.
Etenim sibi passer jucundam domum invenit,
Et turtur pullis idoneum reperit nidum,
Altaria tua, Beate, virtutum Deus es et Rex.
Felicissimi valde omnes qui tuas ædes habent;
Laudem claram tuam celebrabunt carminibus.
Beatus quicunque vir apud te robur bonum repe- [rit,

B Animo inspiciens etiam in cœlum ipsum proficisci,
In valle fletus, ubi clarum invenit locum.
Benedictiones legis dator convenienter largiatur.
De robore eant in robur progredientes,
Palam in Sione Deus deorum videbitur oculis.
Audi, Beate virtutum, famulus vero tuus opto [esse;
Princeps Jacobi, accipe nunc meam auribus vocem.
Auxilium meum factus aspice tuis oculis;
Ne utique tui faciem, Rex, Christi prætereas.
In caula chiliadibus præfert tua diem quiescere.
Melius in palatiis Dei etiam miserandum audire,
Quam robustum incolam in tabernaculis peccato- [rum.

Quia misericordiam et veritatem Deus diligit,
C Ipse decus semper et suam gratiam suppeditabit,
Neque bonis suis innocentes aliquando absque sinet.
Incorrupte, etenim semper virtutum Beatus es solus.
Felix ille vir; cui in animis spes est.

## PSALMUS LXXXIV.

*Octavam decadem præter quartus sacer hymnus,*
*Cantatur magnanimi charis filiis Coræi.*
Tuam rursum, Rex, post ærumnas adamasti terram,
Rursum Jacobi largitus es captivum reditum.
Iniquitates remisisti infinitas tuo populo,
Variarum operuisti in oculis culparum.
Ira ab calida mitem animum sedasti,
Tuum mutasti irato furorem doloris.
Verum quidem, lumen meum, conversus rursum [propitius sis tuis,

D A nobis vero averte tuam gravem iram,
Neque tuis famulis semper irascaris,
A generatione in generationem gravem iram augens.
Ipse conversus vitæ gratiam nobis præbeas,
Tibi vero lætetur exsultans tuus populus.
Divinam misericordiam, Rex, ostende tuis,
Da vero egentibus salutare tuum lumen curans.
Audiam quid utique ipse mihi Deus loquetur,
Pacem suis omnibus populis producens,
Et mentem suis sanctis, et qui rursum sunt cum ipso.
Verumtamen timentes suum lumen curans,
Nostra in terra ut claram gloriam præbeat.
Occurrebant sibi veritasque misericordiaque,

Pax vero osculata est justitiam amabilem.
De terra orta est veritas gratiosa,
De cœlo autem amabilis justitia prospexit.
Etenim benignitatem Rex almam dederit,
Et terra fructificans quidem vitale pabulum præbue-
[rit.

Justitia ante Deum regem ibit,
Vestigia ipsi rotabilibus dirigens viis.

## PSALMUS LXXXV.

*Quintum super octavam decadem carmen bonum ca-*
*[nens.*

*Precem Regi magnus David misit.*
Inclina, Rex, tuam aurem, meam vero audi vocem,
Quoniam egenus aliquis ego et pauper sum.
Cor meum custodi, Rex, sanctus quippe sum.
Tuum famulum serva, quoniam tu mihi æterna spes,
Propitius sis mihi clamanti tota die ad te precibus.
Cor vero lætifices cupientis famuli,
Tuum enim exquisivi robur, et animum meum.
Ipse mitis est valde mansueta faciens,
Probe vero egentibus tuam misericordiam augens.
Audi meam precem, et mei vide sermonis vocem.
Afflictus clamabam, exaudisti vero preces.
Nullus inter immortales Deo similis alius;
Neque enim opera tuis similia apparent operibus.
Virorum gentes omnes quas fecisti manu,
Coram te venientes, Beatissime, adorabunt,
Nomen illustrantes tuum et immortale robur,
Ipse quoniam magnus es, et æterna miracula patras.
Ipse solus Rex summus semper es:
Tua me in via dirigas, veritatem vero comprehendero
Animum exhilarem, reveritus tuum nomen divinum.
Indefesso corde te, Beate supreme, canam.
Tuum semper clarum nomen illustrem,
Quia utique me misericordia, Rex, tua circumtegit,
Nostram vero de inferno gravem eruisti animam.
Adversum me, o Rex, iniqui insurgebant,
Et potentium meum cor societas quærebat,
Neque robur proposuerunt tuum ante oculos.
Et tu valde misericors es, Beate, et miserator,
Et dator misericordiæ multæ, et solus verus.
De cœlo respice, Beatissime, et mei merearis.
Puero tuo tuum robur summum præbeas,
Et tuæ ancillæ fortem filium serves.
Facias nobis, Beate, signum in bonum saltem,
Ut mei confundantur hostes conspicati,
Quoniam utique tu consolatio es et adjutor meus.

## PSALMUS LXXXVI.

*Filiis generosis magnanimi Coræi,*
*Sextum supra octavam dulce carmen decadem.*

Montibus immaculatis fundamenta pulchra Dei.
Novit portas Sionis semper Deus diligerere,
Omnium multo magis Jacobi tabernaculorum.
Audimus de te, civitas immortalis, gloriosa.
Memor ero coram amicis Raab simul et Babylonis.
Alienigenæ Tyriique et Æthiopum claræ gentes,

A Εἰρήνη δ' ἐφίλησε δικαιοσύνην ἐρατεινήν.
Γαίης ἐξανέτειλεν ἀληθείη χαρίεσσα,
Οὐρανόθεν δ' ἐρόεσσα δικαιοσύνη διέκυψε
Καὶ γὰρ μειλιχίην Βασιλεὺς ζωαρκέα δοίη,
Καὶ χθὼν καρποτόκος γε φυσίζοον εἶδαρ ὀπάσσοι.

Εὐδικίη κατέναντι Θεοῦ βασιλῆος ὁδεύσει,
Ἴχνιά οἱ τροχαλοῖσιν ἐπιθύνουσα κελεύθοις

## ΨΑΛΜΟΣ ΠΕ'.

Πέμπτον ἐπ' ὀγδοάτῃ δεκάδι μέλος ἐσθλὸν ἀείδων.

Εὐχωλὴν Βασιλῆι μέγας Δαυΐδος ἀνῆκε.
Κλῖνον, Ἄναξ, τεὸν οὖας, ἐμῆς δ' ἐπικέκλυθι φωνῆς,
Οὕνεκεν ἀκτέανός τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.
Ἦτορ ἐμὸν φρούρησον, Ἄναξ, ὅσιός νύ τοί εἰμι.
B Σὸν θεράποντα σάωσον, ἐπεὶ σύ μοι ἄφθιτος ἐλπίς·
Ἵλαθί μοι βοόωντι πανημαδὸν εἰς σὲ λιτῇσιν.
Ἦτορ δ' εὐφραίνειας ἐελδομένου θεράποντος
(Σεῖο γὰρ ἐξήτησα βίην), καὶ θυμὸν ἐμεῖο.
Αὐτὸς μείλιχός ἐστι (77-78) λίην ἐπιεικέα ῥέζων,
Εὖ δ' ἐπιδευομένοισι τεὴν ἐλεητὺν ἀέξων.
Κλῦθί μευ εὐχωλῆς, καὶ ἐμῆς ἴδη γήρυος αὐδήν.
Τειρόμενος βοάασκον, ὑπήκουσας δὲ λιτάων.
Οὔτις ἐν ἀθανάτοισι Θεῷ πανομοίιος ἄλλος·
Οὐδὲ γὰρ ἔργα τεοῖσι πανείκελα φαίνεται ἔργοις.
Ἀνδρῶν ἔθνεα πάντα τάπερ τεκτήναο χειρί,
Ἄντα σέθεν προμολόντα, Μακάρτατε, λιτάσσονται,
Οὔνομα κυδαίνοντα τεὸν καὶ ἀγήραον ἀλκήν,
Αὐτὸς ἐπεὶ μέγας ἐσσὶ, καὶ ἄφθιτα θαύματα ῥέζεις
Αὐτὸς μοῦνας Ἄναξ πανυπέρτατος αἰὲν ἐτύχθης·
C Σῇ μ' ὁδῷ ἰθύνειας, ἀληθείην δὲ κιχείω·
Θυμὸν ἰαινοίμην, τρομέων σέθεν οὔνομα θεῖον.
Ἀλήκτῳ κραδίῃ σε, Μάκαρ πανυπέρτατε, μέλψω·
Σεῖο διηνεκέως κλυτὸν οὔνομα κυδαίνοιμι,
Οὕνεκα δή μ' ἐλεητὺς, Ἄναξ, σέθεν ἀμφικαλύπτει,
Ἡμέτερον δ' αΐδαο βαρύφρονα ῥύσαο θυμόν.
Ἄντα με, ὦ Βασιλεῦ, ἀθεμίστιοι ἀντεφέροντο,
Καὶ σθεναρῶν ἐμὸν ἦτορ ὁμήγυρις ἰχνεύεσκεν,
Οὐδὲ βίην προὔθεντο τεὴν κατεναντίον ὄσσων.
Καὶ σὺ μάλ' οἰκτίρμων πέλεαι, Μάκαρ, ἠδ' ἐλεήμων,
Καὶ δωτὴρ ἐλέου πολέος, καὶ μοῦνος ἀληθής.
Οὐρανόθεν σκοπίαζε, Μακάρτατε, καὶ μ' ἐλεαίροις.
Παιδὶ τεῷ σέο κάρτος ὑπέρτατον ἐγγυαλίξοις,
Καὶ σέθεν ἀμφιπόλου ἀγαπήνορα παῖδα σαώσοις.
Τεύχοις ἄμμι, Μάκαρ, σημήϊον εἰς ἀγαθόν περ,
Ὄφρα μευ αἰσχυνθεῖεν ἀνάρσιοι εἰσορόωντες,
D Ὡς ῥα σὺ παρφασίη τελέθεις καὶ ἀρωγὸς ἐμεῖο.

## ΨΑΛΜΟΣ ΠϚ'.

Υἱάσιν ἀντιθέσιν ὑπερθύμοιο Κοραίου
Ἕκτον ἐπ' ὀγδοάτῃ ἡδὺ μέλος δεκάδι.

Οὔρεσιν ἀχράντοισι θεμείλια καλὰ Θεοῖο.
Οἶδε πύλας Σιῶνος ἀεὶ Θεὸς ἀμφαγαπάζειν,
Πασάων πολὺ μᾶλλον Ἰακώβου κλισιάων.
Πευθόμεθ' ἀμφὶ σέθεν, πόλις ἔφθιτε, κυδήεντα.
Μνήσομαι ἄντα φίλων Ῥαάβης ἅμα καὶ Βαβυλῶνος.
Ἀλλοδαποὶ Τύριοί τε καὶ Αἰθιόπων κλυτὰ φῦλα,

(77-78) Ἐστι. Forte ἐσσι. EDIT.

Κεῖσ' ἅμα πάντες ἰόντες, ὁμέστιον αὖλιν ἔθεντο.

Μητέρα τιμήεσσαν ἀνὴρ Σιῶνα καλέσσει·
Καὶ γὰρ ἀρίζηλον καὶ ἀληθέα γείνατο φῶτα·
Καί μιν Ἄναξ γραφίδεσσι περιφραδέως ἀγορεύσει,
Λαῶν καὶ κρατερῶν ὥνπερ τέκεν ἡγεμονήων.
Οἵ τέ μιν οἰκήσουσι βόων κεχαρηότες αἰεί.

## ΨΑΛΜΟΣ ΠΖ'.

Καὶ τόδ' ὑπὲρ Μαελὲθ πινυτοῖς παίδεσσι Κο-[ραίου,
Ἕβδομον ὀγδοάτῃ ἀμφὶ μέλος δεκάδι.
Νωιτέροιο βίη, πανυπέρτατε φέγγεος Ἐσσὴν,
Ἠμάτιος βοόω καὶ πάννυχος εἰς σὲ λιτῇσιν·
Εἴθε μοι εὐχωλὴ σῶν ἀντίον ἵξεται ὄσσων·
Εἴθε μοι ἱκεσίῃσιν, Ἄναξ, τεὸν οὖας ἐρείδοις·
Οὕνεκά μοι βέβριθεν ἀμήχανος ἄλγεσι θυμὸς,
Νερτερίου τ' ἀίδαο φίλη πέλας ἦλθε βιώνη.
Ὠίσθην ἔμεν ἶσος ἐπεσσυμένοις μετὰ βόθρον·
Θνητὸς ὅπως γενόμην, ᾧ μὴ καταφαίνετ' ἀρωγὸς,
Καίπερ ἀεὶ νεκύεσσιν ἐλεύθερος αὐτὸς ἐὼν περ,
Οἷάπερ οὐτηθέντες ἀκήδεστοι περὶ τύμβους
Εὕδουσιν, τῶν οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.
Καὶ γὰρ σῆς παλάμης ἐρικυδέος ἐκτὸς ἔλασθεν.
Νερτέριόν μ' ἀπέθεντο μετὰ φθισήνορα βόθρον,
Ὀρφναίην θανάτοιο παρὰ σκιοειδέα χώρην·
Ἀμφ' ἐμὲ σεῖο κότος βαρυώδυνος ἐστήρικται,
Καί με μεταχρόνιον κλονέει τεὰ μέρμερα πάντα.
Τῆλε παρηγορίην νοσφίσαο πᾶσαν ἑταίρων·
Οἱ δέ με λευγαλέῳ τῳ ἀποστυγέουσιν ὁμοῖον.
Ἀ! τότε πῶς βιόωντο καὶ οὐκ ἐθέλοντα μ' ἕπεσθαι!

Ἐκ δ' ὀλιγηπελίης ἀμαθύνετο καὶ φάος ὄσσων.

Αὐτὰρ ἐγὼ κάλεόν σε τόσης ἐπίκουρον ἀνάγκης,

Εἰς δὲ σὲ χεῖρες ἐμεῖο πανημαδὸν ἠωρήντο
Μὴ τεὰ πὰρ νεκύεσσιν ἀκηδέσι θαύματα ῥέξεις;
Ἦ ῥά τοι ἰητῆρες ἀναστήσουσιν ἀοιδούς;
Μή τις σὴν παρὰ τύμβον, Ἄναξ, ἐλεητὺν ἀείσει,

Καὶ σευ ἀληθείην ἐρατὴν ἐπ' ὀλωλότι χώρῳ;
Μὴ κνέφαϊ θηητὰ τεὰ προφανήσεται ἔργα,
Ἢ σέθεν εὐδικίην προλελασμένη εἴσετ' ἄρουρα;
Τοὔνεκά σε ζώων μεθέπω καὶ λίσσομ' ἀρωγὸν,
Ἠῶθεν δὲ λιτῇσι μετεγρόμενός σε καλέσσω.
Τίπτε μοι εὐχωλὴν ἀγανόφρονα τηλόθι πέμπεις,
Ἐκ δὲ τεὴν ἱκέταο τρέπεις παλίνορσον ὀπωπήν;
Ἐξ ἥβης πτωχός τε καὶ ἐν καμάτοισι μεμηλὼς,
Ὑψόθεν αὖ χθαμαλὸς γενόμην καὶ ἀμήχανος ἔργοις.

Ἀμφ' ἐμὲ σεῖο, Μάκαρ, πυκιναὶ διαμήνιες ἦλθον,
Καὶ σῆς ἠνορέης ῥιγηλά με δείματ' ἀτύζει.
Ἀμφί με κυκλώουσι βαθύρροον οἷά περ ὕδωρ,
Πάντοθεν ἀμφιβαλόντα πανημαδὸν ἔνθα καὶ ἔνθα.
Γείτονά μευ νόσφισσας, ἐμόν θ' ἅμα πιστὸν ἑταῖρον,

Οὐδέ τις ἀσχάλλοντι παρήγορος ἦλθε θυραῖος.

A Illic simul omnes euntes contubernalem caulam [posuerunt.
Matrem honoratam vir Sionem vocabit:
Etenim nobilem et verum genuit virum.
Et eam Rex scriptionibus scienter dicet,
Populorum et fortium quos genuit ducum.
Quique eam habitabunt clamabant gaudentes sem-[per.

## PSALMUS LXXXVII.

*Etiam hoc pro Maeleth prudentibus filii Coræi,*

*Septimum octavam supra carmen decadem.*
Nostri robur, summe luminis Princeps,
In die clamo et tota nocte ad te precibus;
B Utinam mihi precatio tuos ante veniat oculos,
Utinam mihi precibus, Rex, tuam aurem admoveas.
Quoniam mihi onerata est impotens doloribus anima
Inferioremque orcum chara prope venit vita.
Æstimatus sum esse similis depulsis in foveam,
Mortalis quasi factus sum, cui non apparet adjutor.
Quamvis semper inter mortuos liber ipse exsistens:
Sicut vulnerati jacentes in sepulcris.
Dormiunt, quorum non aliquid respicis neque curas.
Etenim tuam manum gloriosam extra repulsi sunt.
Profundum me abjecerunt in exitiosum lacum,
Caliginoso mortis in umbroso loco.
Super me tuus furor gravis confirmatus est,
Et me diuturnum conturbant tua molesta omnia.
Longe consolationem avertisti omnem sociorum,
C Ipsi vero me pernicioso alicui oderunt similem.
Ah! tunc quo pacto cogebant etiam non volentem [me sequi!
Præ vero imbecillitate languebat etiam lumen [oculorum.
Cæterum ego vocabam te tantæ adjutorem neces-[sitatis,
Ad te vero manus meæ tota die suspendebantur.
Num tua apud mortuos insepultos mirabilia facies?
Aut sane medici suscitabunt cantores?
Num aliquis tuam in sepulcro. Rex, misericordiam [canet,
Et tuam veritatem amabilem in perdito loco?
Num in tenebris mirabilia tua apparebunt opera,
Et tuam justitiam oblita cognoscet terra?
D Itaque te vivens quæro, et precor adjutorem,
Mane vero precibus excitatus te vocabo.
Quare mihi precem mitem longe mittis,
Tuum vero a supplice avertis retrofugum vultum?
A juventute pauperque et in laboribus diligens,
Ex alto rursum humilis factus sum et impotens [operibus.
Circum me tuæ, Beate, iræ transierunt,
Et tui roboris horrendi me terrores conturbant.
Circum me circumdant profunda velut aqua,
Undique vallaverunt tota die hinc et hinc.
Vicinum meum elongasti, meumque simul fidelem [socium,
Neque aliquis oppresso consolator venit externus.

## PSALMUS LXXXVIII.

*Dignum cœlesti prudentia gratiosi Etani*
*Octavum octavam supra carmen decadem.*

Indesinenter misericordiam, Rex, tuam celebrabo,
De generatione in generationem, Beate, vera canam.
Dixisti misericordiam facere diebus cunctis,
Tuamque veritatem supra cœlos ponere paratam.
Fœdus fecimus cum nostris optimis :
Juravi Davidi, famulus vero meus semper fuit.
Indesinenter tuum genus adornem sedibus,
Et gloriosum thronum tuum semper faciam.
Cœli celebrabunt, Beate, tua divina opera,
Et tua veritas sanctorum tabernaculis curæ sit.
Quis incola nubium similis erit Regi ?
Aut quis tibi aliquando similis inter filios Immortalis ?
Gloriosus in consiliis sanctorum Deus semper est,
Quam magnus, quam timendus, tremor vero cepit omnes.
Princeps virtutum, quis tibi robore adæquabitur ?
Ipse veritate armatus fortia facis.
Ipse intractabilis impetum possedisti maris,
Fluctus mitigans compescas quando incurvi concitantur.
Sicut vulneratum superbum virum dejecisti,
Robore vero comprimens odiosos dispersisti errones.

Cæli etiam et terræ tuæ possessio sunt jussionis,
Rotundi manibus fundamenta posuisti mundi,
Aquilonem et mare immensum ipse fecisti.
In te Thaborusque Hermonoimusque exsultent,
Inconcussi semper cum potentia tuo brachio.
Tua exaltetur in confidentia dextera manus :
Justitia et judicium tuam circumdat sedem.
Ante te præcurrunt veritasque misericordiaque.
Beatus est populus scite jubilans,
Quos utique tuum lumen æternum reget,
Semper gaudentes quibus tuum nomen voluptas,
Et gloria celebris sub justitiis tuis ;
Quoniam tu ipsis gloria es ingens fortitudinis :
Tibique fidentes suum cornu attollant.
Immortalis in terra semper est munimentum auxilii,
Immaculati Regis, nobilis Israelis.
Utique tunc pueris tuis hæc addidisti loquens :
Robur in potente, et in viribus valente præbui subsidium.
De populo optimum eligens ornavi sedibus.
Davidem famulum charum et operarium inveni,
Sancto autem unxi corpus speciosum oleo.
Etenim nostram manum adjutricem habebit,
Nostrum vero eum semper excitet brachium.
Nunquam inimicis erit voluptas in ipso,
Neque ipsum iniquitatis in jacturis filius redarguet.

Cernentis manibus suos inimicos occidam,

A

## ΨΑΛΜΟΣ ΠΗ'.

Ἄξιον οὐρανίης πινυτῆς χαρίεντος Ἐτάνου
Ὄγδοον ὀγδοάτη ἀμφὶ μέλος δεκάδι.

Νωλεμέως ἔλεον, Βασιλεῦ, τεον υμνοπολεύσω,
Ἐκ γενῆς γενεήνδε, Μάκαρ, νημερτέα μέλψω.
Φῆς ἐλεημοσύνην τεκταινέμεν ἤματα πάντα,
Σεῖό τ' ἀληθείην ὑπὲρ αἰθέρα θέσθαι ἑτοίμην.
Συνθεσίην ποιησάμεθ' ἡμετάροισιν ἀρίστοις·
Ὤμοσα Δαυΐδῳ, θεράπων δ' ἐμὸς αἰὲν ἐτύχθη·
Νωλεμέως σέο φῦλον ἐπεντύναιμι θοώκοις,
Καὶ πολυκυδήεντα θρόνον σέο πάντοτε τεύξω.
Οὐρανοὶ ὑμνήσονσι, Μάκαρ, τεὰ θέσκελα ἔργα,
Καί σευ ἀληθείη ὁσίων κλισίῃσι μελέσθω.
Τίς ναέτης νεφέων πανομοίιος ἔσσετ' Ἄνακτι ;
B Ἤ τίς τοί ποθ' ὁμοῖος ἐν υἱάσιν Ἀθανάτοιο ;

Κύδιμος ἐν βουλῆς ἁγίων Θεὸς αἰὲν ἐτύχθη,
Ὡς μέγας, ὡς φοβερός, περὶ δὲ τρόμος εἷλεν ἅπαντας.
Ἡγητὴρ σθενέων, τίς τοι μένος ἰσοφαρίζοι ;
Αὐτὸς ἀληθείῃ κεκορυθμένος ἄλκιμα ῥέζεις.
Αὐτὸς ἐρισμαράγοιο βίην κτεατίσσαο πόντου·
Κύματα μειλίσσων ἀνέλοις, ὅτε κυρτὰ κορύσσει.

Οἷά περ οὐτηθέντα ὑπέρβιον ἄνδρα καθεῖλες·
Κάρτεϊ δὲ βρίθων στυγεροὺς ἐκέδασσας ἀλείτας.

Οὐρανοὶ ἠδέ κε γαῖα τεῆς κτέρας εἰσὶν ἀνωγῆς·
C Εὐκύκλου παλάμῃσι θεμείλια θήκαο κόσμου,
Καὶ βορέην καὶ πόντον ἀθέσφατον αὐτὸς ἔτευξας.
Σοὶ περὶ Θαβῶρός θ' Ἑρμωνόϊμός τε χαρεῖεν,
Ἀστυφέλικτες ἀεὶ περὶ κάρτεϊ σῷ βραχίωνι.
Σὴ μεγαλιζέσθω πρὸς θάρσεϊ δεξιτερὴ χείρ·
Εὐδικίη καὶ κρῖμα τεὴν περιίσταται ἕδρην.
Ἄντα σέθεν προθέουσιν ἀληθείη τ' ἔλεός τε.
Ὄλβιος ἔπλετο λαὸς ἐπισταμένως ἀλαλάζων·
Τῶν ἦται σέο φέγγος ἀγήραον ἡγεμονεύσει,
Πάντοτε τερπομένων οἷσιν τεὸν οὔνομα τέρψις,
Καὶ κλέος ἀμφιβόητον ὑπ' εὐδικίῃσι τεῇσιν·
Οὕνεκα σύ σφισιν εὖχος ἔφυς περιώσιον ἀλκῆς·
Σοί τ' ἔτι θαρσαλέοι σφέτερον κέρας ὑψώσειαν.
Ἀθανάτου κατὰ γαῖαν ἀεὶ πέλει ἕρκος ἀρωγῆς,

D Ἀχράντου Βασιλῆος, ἀγακλέος Ἰσραήλου.
Δὴ τότε παισὶ τεοῖσι τάδε προσλέξαο βάζων·
Κάρτος ἐπὶ κρατερῷ καὶ ἐπ' εὐρυβίῃ πόρον ἀλκήν,

Ἐκ λαοῦ πανάριστον ἑλὼν κόσμησα θοώκοις.
Δαυΐδον θεράποντα φίλον καὶ ἔριθον ἐφεῦρον,
Εὐαγέϊ δ' ἤλειψα δέμας περικαλλὲς ἐλαίῳ.
Καὶ γὰρ νωιτέρην παλάμην ἐπιτάῤῥοθον ἕξει,
Ἡμέτερος δέ μιν αἰὲν ἐποτρύνειε βραχίων.
Οὔποτε δυσμενέεσσι γενήσεται ἦδος ἐπ' αὐτῷ,
Οὐδέ ἑ δυσνομίης ἐπὶ πήμασι υἱὸς ἐλέγξει.

Δερκομένου παλάμῃσιν ἑοὺς δηΐους ἐναρίξω,

Καί μιν ἀπεχθαίροντας ἐλεγχέας ἐξαναφήνω,
Καί οἱ ἀληθείη, ἔλεός θ' ἅμα σύνδρομος εἴη,
Ἀμφὶ δὲ μοι μεγαλαυχὲς ἀειρόμενον κέρας ἕξει.
Χεῖρα μέν οἱ θήσαιμι δι' ἀτρυγέτοιο θαλάσσης,
Καί οἱ δεξιτερὴ ποταμῶν καθύπερθεν ἀνάξει.
Αὐτὸς ἀρίζηλον ποθέων καλέσει με τοκῆα,
Ἀλκτῆρα σφετέρου φάεός θ' ἅμα καὶ Θεὸν ἴσχων.
Πρωτότοκον δέ μιν αὐτὸς ἐμὸν φίλον υἱέα θήσω,

Ὑψηλὸν μετὰ πᾶσιν ἀριστοπόνοις βασιλεῦσι.
Νωλεμέως ἐλεητὺν ἐνηέα τῷδε φυλάξω,
Καί οἱ συνθεσίης ἐρικυδέα πίστιν ἐρείσω.
Ἐκ γενεῆς γενεήνδε φίλος σπόρος ἔμπεδος εἴη,
Καὶ θρόνος αἰγλήεις, ὅσον οὐρανοῦ ἤματα μίμνει.
Εἰ δέ κε κείνου παῖδες ἐμῶν λησαίατο θεσμῶν.
Μηδὲ μετ' εὐδικίησιν ὁμαρτήσουσιν ἐμῇσιν·
Αἴκε δικαιοσύνην ἐμέθεν τεύξωσι βέβηλον,
Ἡμετέρων δὲ γένωνται ἀμνήμονες ἐννεσιάων·
Ἱέμενος σκήπτρῳ στυγερά σφεων ὄψομαι ἔργα,
Σφωιτέρας μάστιξιν ἀτασθαλίας ἐρεείνων.
Τῶν δ' ἐλεημοσύνην προτέρην οὐ πάγχυ κεδάσσω,

Οὐδ' ἐπ' ἀληθείῃ ἄδικόν τι πρόσθε τελέσσω,
Οὐδ' ἐπὶ συνθεσίῃσιν ἐμῇς ῥέξαιμι βέβηλα,
Οὐδὲ μεταστρέψαιμι τάπερ χείλεσσιν ἔειπον.
Ὤμοσα Δαυΐδῳ, σταθεροὺς οὐ ψεύδομαι ὅρκους·
Ὄλβιόν οἱ μετὰ πᾶσι διηνεκέως γένος ἔσται,
Καὶ θρόνος ἠελίῳ πανομοίιος αἰγλήεντι,
Τοῖος ἐὼν οἵηπερ ἔφυ πλήθουσα σελήνη,
Καί οἱ ναιετάων πιστὸς μέγαν οὐρανὸν ἵστωρ.
Ἀλλὰ σὺ παντοδαποῖσιν, Ἄναξ, μεθέηκας ἐλέγχοις·

Ἀμβολίῃ χρισθέντα τεῷ παρέλασας ἐλαίῳ.
Συνθεσίην ἔστρεψας ἐρισθενέος θεράποντος,
Καί οἱ πᾶσι βέβηλον ἐπὶ χθονὶ θήκαο νηόν.

Ἑρκεά οἱ σύμπαντα μεγακλήεντα καθεῖλες,
Οἷσι πάρος φρουρεῖτο· τὰ δ' οἱ ῥίγιστα τέτυκτο.

Καί ἑ παραστείχοντες ἀφαρπάζεσκον ὁδῖται·
Λωβητὸς γεγένητο παρὰ σφετέροισι θυραίοις.
Δεξιτερὴν ἀνάειρας ἐπειγομένων μιν ὀλέσσαι·
Σφωιτέρους κύδηνας ἀναιδέας ἁρπακτῆρας.
Μαρναμένου ξίφεος κρατερὴν ἔστρεψας ἐρωὴν,
Οὐδ' ἐπιδευομένῳ κατὰ φύλοπιν ἦλθες ἀρωγὸς,
Ἀλλ' ἔμεν (79-82) οὐλομένοισι μάχης πεπλαγμένος [ ἔργοις,
Ἆ! πῶς οἱ στονόεσσα κατέῤῥιπεν ὑψόθεν ἕδρη!
Ἆ! πῶς τόσσον ὄλεσσε μινυνθαδίῳ θρόνος (83) ὥρῃ!

Ἀντὶ δέ μιν στεφάνων κατερήτυε πάντοθεν αἶσχος.
Εἰπὲ, Μάκαρ· Τέο μέχρι κοτεσσάμενος χαλεπαίνοις,
Πυρσὸν ἀναπτόμενον σθεναρόν σεο θυμὸν ἀέξων;
Μνῆσαι, Παμβασιλεῦ, βρότεος βίος ὅσσος ἐτύχθη.
Μὴ γὰρ μαψιδίως μερόπων τεκτήναο φῦλον;
Τίς βροτὸς, ὃς θανάτοιο βίην καὶ δεσμὸν ἀλύξει,

A Et ejus osores vituperandos declarabo,
Et ipsi veritas, misericordiaque simul comes sit,
In me vero gloriosum elatum cornu habebit.
Manum quidem ipsi ponam per indomitum mare.
Et ejus dextera fluvios super evehet.
Ipse clarum cupiens vocabit me patrem,
Opitulatorem sui luminisque simul et Deum habens.
Primogenitum vero eum ipse nostrum charum fi- [lium ponam,
Excelsum inter omnes optimos reges.
Semper misericordiam mitem huic servabo,
Et ipsi fœderis præclaram fidem firmabo.
De sæculo in sæculum charum semen stabile sit,
Et sedes gloriosa. quantum cœli dies manent.
Si autem ejus filii mearum obliti fuerint legum.
B Neque cum justitiis sequentur meis;
Si justitiam meam fecerint profanam,
Nostrorum vero fuerint immemores mandatorum,
Festinans sceptro odiosa ipsorum videbo opera,
Suas verberibus stultitias perquirens.
Ab his autem misericordiam priorem non prorsus [ dispergam,
Neque in verita e injustum quid antea faciam,
Neque in fœderibus meis patrabo profana,
Neque mutabo quæ labiis protuli.
Juravi Davidi, stabilia non mentior fœdera:
Beatum ipsi inter omnes semper genus erit,
Et thronus soli similis splendenti,
Talis existens qualis est plena luna,
Et ipsi habitans fidelis magnum cœlum testis.
Verum tu omnigenis, Rex, persecutus es redargu- [ tionibus,
C Dilatione unctum tuo repulisti oleo..
Fœdus avertisti præpotentis famuli,
Et ipsi omnibus profanum in terra posuisti tem- [ plum.
Septa ei universa inclyta destruxisti,
Quibus antea custodiebatur, ipsa ei terribilia facta [ sunt.
Et eum transeuntes diripuerunt viatores,
Injuriis patens factus est aqud suos vicinos,
Dexteram elevasti properantium eum perdere,
Suos decorasti impudentes raptores.
Pugnantis gladii validum avertisti impetum,
Neque egenti in bello venisti adjutor,
Sed esse perniciosis pugnæ fœdatum operibus.
D Ah! quo pacto ei lugubris projicitur ex alto sedes!
Ah! quo pacto tantum perdidit brevi thronus [ tempore!
Pro autem coronis detinuit undique dedecus.
Dic, Beate, quousque iratus succenseas,
Ignem accensum validam tuam iram augens?
Recordare, Domine, mortalis vita quanta est.
Num enim vane hominum fecisti genus?
Quis mortalis, qui mortis vim et vinculum effu- [giet,

(79-82) Ἔμεν. Legendum videtur, ἔμεν', pro ἔμενε, *manebat*. Edit.

(83) Θρόνος. Forte, θρόνον. Edit.

Ex inferno charum vocans mutabile cor?
Ubi mihi tuæ prioris misericordiæ immensa vis,
Quam David antea pollicitus annuisti ?
Neque tuorum famulorum obliviscaris irrisorum,
Quorum antea nostro ferebam mala jurgia sinu,
Sicut te antea inimici maleficis vituperabant ope- [ ribus,
Qui utique tui Christi etiam imaginem cavillaban- [ tur.
Laudabilis erit Rex, Deus erit Israelis.

## PSALMUS LXXXIX.

*Si fas cœlestem loqui mortalem, semper est*
*Moses Immortalis fidelissimus famulus :*
*Qui antea precem hanc resonuit : hæc vero est*
*Octavæ decadis circa nonumque carmen.*

Nobis, Beate, es robur in perpetuis generationibus.
Ante sedes montium, ante etiam terræ firmamen- [ tum fieri,
Ab initio Regem et in sæculum te celebrabo.
Ne mihi aversus abjectum rursus virum feceris,
Jubens hominibus vitam mutabilem eligere.
Hesternus velut annorum tuis chilias dies in [ oculis,
Qui ante præteritus custodiam suam nocti præbuit.
Vituperabilia ipsis opera fient in annos.
Aurora matutina præteribit velut flos ;
Aurora floreat et florens prætereat.
Vespera rursum cadat, cicceturque lapidata.
Te enim imbecilli facti sumus irascente,
Graviter succensente turbati Rege.
Iniquitates posuisti ob oculos tuos paratas,
Vita nostra est tui lumen vultus.
Præ infirmitate similes facti sumus fumo,
Et te succensente charum consumimus robur.
Nostris annis persimilis est aranea.
Vitæ humanæ decades temporis septem sunt.
Si vero annos vivamus ad plus octoginta.
Horum labor et ærumna semper vitæ est amplius,
Quoniam benignitatis mortalem domuerit genera- [ tionem.
Quis tui irascentis ingens animis robur novit ?
Quis tuæ dinumeret tetricos pavores iræ?
Dexteram honoratam, Rex, ipsis sic ostendas,
Quibus immortalis sapientia præcordiis curæ est.
Desine irasci, quid animum iracundum auges?
Tuis, Beate, famulis supplicibus indulgeas.
Ab aurora misericordia pleni sumus, Immortalis, [ tua ;
Voluptate et lætitia animos dies omnes :
Quorum gratia dierum apud te vincti sumus ærum- [ nis,
Pro annis quibus antea vidimus dolores tantos,
Respice tuos famulos, Immaculate, et tua opera :
Horum vero sane filiis charis conversus præeas.
Splendor Regis decantatus nobis appareat,
Opera vero nostrarum dirigas manuum.

A Ἐξ ἀΐδαο φίλον καλέων παλινάγρετον ἦτορ;
Ποῦ μοι σῆς προτέρης ἐλεητύος ἄσπετος ἀλκή,
Ἣν Δαυΐδῳ πρόσθεν ὑποσχόμενος κατένευσας;
Μηδὲ τεῶν δμώων ἐπιλήθεο μωμηθέντων,
Ὧν πάρος ἡμετέρῳ φερόμην κακὰ νείκεα κόλπῳ,
Ὥς (83) σε πάρος δήιοι κακοεργέσιν ἔψεγον ἔργοις,
Οἵ ῥα τεοῦ Χριστοῖο καὶ εἰκόνα λωβήσαντο.
Αἰνετὸς ἔσσετ' Ἄναξ, Θεὸς ἔσσεται Ἰσραήλου.

## ΨΑΛΜΟΣ ΠΘ'.

Εἰ θέμις οὐράνιον φάσθαι βροτὸν, αἰὲν ἐτύχθη
Μωσῆς Ἀθανάτου πιστότατος θεράπων·
Ὃς πάρος εὐχωλὴν τήνδ' ἴαχεν· ἡ δὲ τέτυκται
B Ὀγδοάτης δεκάδος ἀμφ' ἐνάτῳ τε μέλει.

Ἄμμι, Μάκαρ, γενοῦ ἕρκος ἐπ' ἀλήκτοισι γενέθλαις.
Πρὶν ἕδρας ὀρέων, πρὶν καὶ χθονὸς ἕρμα γενέσθαι,
Ἐκ παλαχῆς Βασιλῆα καὶ εἰς αἰῶνά σε μέλψω.
Μή μοι ἀποστρέψας χθαμαλὸν πάλιν ἀνέρα τεύξῃς,
Κεκλόμενος μερόπεσσι βίον παλίνορσον ἑλέσθαι.
Χθιζὸν ὅπως ἐτέων σέο χιλιὰς ἦμαρ ἐν ὄσσοις,
Ὃ πρὶν ἀποφθίμενον φυλακὴν ἕο νυκτὶ παρέσχε.
Μωμητά σφισιν ἔργα γενήσεται εἰς ἐνιαυτούς.
Ἠὼς ἠριγενὴς παρελεύσεται οἷάπερ ἄνθος·
Ἠὼς ἀνθήσειε, καὶ ἀνθήσασα παρέλθοι.
Ἑσπέρη αὖθι πέσοι, καρφοιτό τε πετρωθεῖσα
Σεῖο γὰρ ἀνδρανέες γεγενήμεθα μηνίσαντος,
C Αἰνὰ κοτεσσαμένοιο ταρασσόμενοι Βασιλῆος.
Δυσνομίας προὔθηκας ἐπ' ὄμμασι σοῖσιν ἑτοίμους·
Ζωὴ νωϊτέρη τελέθει σέο φέγγος ὀπωπῆς.
Ἐξ ὀλιγηπελίης ἴκελοι γεγενήμεθα καπνῷ,
Καί σευ ὀδυσσαμένοιο φίλην κατατηκόμεθ' ἀλκήν.
Ἡμετέροις ἐτέεσσι πανείκελός ἐστιν ἀράχνης.
Ζωῆς ἀνδρομέης δεκάδες χρόνου ἑπτὰ πέλονται·
Ἢν δ' ἔτεα ζήσαιμεν ἐπὶ πλέον ὀγδώκοντα,
Τῶνδε κόπος καὶ μόχθος ἀεὶ βίου ἐστὶ περισσὸν,
Οὕνεκα μειλιχίης βροτέην δαμάσειε γενέθλην.
Τίς σεο χωομένοιο μέγα φρεσὶ κάρτος ἀνέγνω;
Τίς σευ ἀριθμήσειεν ἀμειδέα δείματα θυμοῦ;
Δεξιτερὴν ἐρίτιμον, Ἄναξ, σφίσιν ὧδ' ἀναφαίνοις,
Ὅσσοις ἀθανάτη σοφίη πραπίδεσσι μέμηλε.
Παύεο χωόμενος· τί νόον βαρύμηνιν ἀέξεις;
D Σεῖο, Μάκαρ, δμώεσσι λιταζομένοις ὑποείκοις.
Ἐξ ἠοῦς ἐλέῳ βεβρίθαμεν, Ἄφθιτε, σεῖο.
Τερπωλῇ καὶ εὐφροσύνῃ φρένας ἤματα πάντα·
Ὧν χάριν ἡμερέων παρὰ σοὶ δεδμήμεθα μόχθοις,
Ἀντ' ἐτέων ὧν πρόσθεν ἐλεύσαμεν ἄλγεα τόσσα.
Δέρκεο σοὺς θεράποντας, Ἀκήρατε, καὶ σέθεν ἔργα·
Τῶν δ' ἄρα παισὶ φίλοισι παλίσσυτος ἡγεμονεύοις.
Ἀγλαΐη Βασιλῆος ἀοίδιμος ἄμμι φανείη,
Ἔργα δὲ νωϊτέρων εὐθύνειας παλαμάων.

## ΨΑΛΜΟΣ Ϟ'.

Αἶνον ἀγακλήεντα μέγας Δαυῖδος ἔμελψε
Καλλιχόρων μελέων εἰς ἐνάτην δεκάδα.
Ἄφθιτε, ναιετάων ὑψαύχενος ἄλκαρ ἀρωγῆς,
Ἐν σκέπαϊ Βασιλῆος ἐπουρανίοιο διάξει.
Ἐξερέει Βασιλῆϊ· Βίη καὶ πύργος ἐτύχθης,
Καὶ Θεὸς ἄμμι πέλεις, καὶ ἀοίδιμος ἐλπὶς ἀρωγῆς·
Αὐτὸς ἐπεὶ ῥύσαιτο λίνοιό με θηρητήρων,
Μύθου τ' ἀσταθέος ταραχῆς περιπεπτηῶτος.
Αὐτὸς Ἄναξ σκιερῷ σε μεταφρένῳ ἀμφικαλύψει.
Ἐλπίδα σὴν πτερύγεσσιν ὑπ' ἀθανάτοισι δοκεύοις·
Ἀμφὶ δ' ἀληθείᾳ θωρήξειεν οἷά περ ὅπλῳ.
Οὔποτέ μοι νυχίῳ περὶ δείματι δειμήνειας,
Οὐδὲ μεθημέριον πταμένου ῥοιζηδὸν ὀϊστοῦ,
Οὐδ' ὑπονισσομένου σκοτίους περὶ πυθμένας ἔργου,
Οὐδ' ὑπὸ δαιμονίου τε μεσημβρινοῦ ἀντιόωντος.
Ἐκ σέο μὲν λαιῆς παλάμης κατὰ Χιλιὰς ἔῤῥοι,
Ἐκ δ' ἄρα δεξιτερῆς μάλα μυριὰς αὖθι πεσεῖται.
Ἀλλ' οὔτις ποτὲ σεῖο δυνήσεται ἆσσον ἱκέσθαι.
Ἔμπα γε μὴν καθαροῖσιν ἐν ὀφθαλμοῖσι δεδορκὼς,
Ἄξιον ἀμπλακίης κακοεργέος ὄψεαι αἶνον.
Αὐτὸς ἐπεὶ ῥ' ἐμέθεν φυσίζοος ἐλπὶς ἐτύχθης,
Ἦ ῥα παρ' Ὑψίστῳ φορέεις τεὸν, Ἄλκιμε, θάρσος.
Μήποτε δείδιθι πάγχυ κακῶν ξυνιοῦσαν ἀνάγκην,

Μηδ' ἀλύῃς ὅτι σεῖο δέμας μάστιγι δαμείῃ·

Ἀμφὶ σέθεν στρατιῇσιν ἐπουρανίῃσι κελεύσει,
Ὄφρα κεν ἐν πάσῃσι περιστιχόωσιν ὁδοῖσι·
Καί σε, Μάκαρ, παλάμῃσιν ἀειράμενοι φορέοιεν,
Μήποτε τιμήεντα τεὸν πόδα λᾶϊ καθάψῃς.
Ἀσπίδα θαρσαλέως ἐπιβήσῃ καὶ βασιλίσκον,
Ἰοβόλον δὲ δράκοντα ποσὶν καὶ θῆρα πατήσεις.

Ῥυσαίμην μιν ἐμῇ μεμελημένον ἐλπίδι θυμῷ,
Εὖ δέ μιν ἀμφιέσω· μάλα γὰρ μάθεν οὔνομ' ἐμεῖο.

Τοῖο λιταζομένοιο θοώτερον αὐτὸς ἀκούσω,
Καὶ οἰκτειρομένῳ πέλας ἔσσομαι ἤματα πάντα·
Ῥυσάμενος δέ σε (83*), κῦδος ἀεὶ μεγαλαυχὲς ὀπάσσω,
Καί μιν ἐνιπλήσαιμι ἀτερμάντοισι γενέθλαις·
Νωλεμέως οἱ φέγγος ἀγήραον ἐξαναφήνω.

## ΨΑΛΜΟΣ ϞΑ'.

Πρῶτος ἐνενηκοστός τε τῶν σοφῶν μελῶν
Ὁ ψαλμὸς οὗτος ἡμέραν εἰς Σαββάτου.
Ὡς ἀγαθὸν Βασιλῆα μεγακλήεντα λιγαίνειν,
Καὶ πολυκύδιστον κιθάρᾳ τεὸν οὔνομα μέλπειν!
Ἐξ ἠοῦς ἐρέοντι περιφραδέως ἐλεητὺν,
Καί σεο τιμήεσσαν ἀληθείαν διὰ νυκτὸς,
Νεύρων πλεξαμένῳ δεκάδα φόρμιγγι λιγείῃ,
Ὡς γάνυμαι! Μάλα γάρ με τεοῖς, Μάκαρ, ἔργμασι [θέλγοις.
Καί σεο θεσπεσίοισι νόον κεχαρήσομαι ἔργοις.
Τίς κεν ἀνυμνήσειε τεὴν μεγαλαυχέα τέχνην;
Τίς πινυτὴν μέλψειε περὶ πραπίδεσσι βαθεῖαν;
Οὔτις τοι τάδε νῆις ἐνὶ φρεσὶν εἴσεται ἀνὴρ,
Οὐδ' ἀεσιφροσύνῃ μεμελημένος αὐτὰ νοήσει·
Εὖτ' ἀδίκους θαλέθοντας ἐπόψεται ἠΰτε χόρτον,

(83*) Σε. Forte, γε. EDIT.

A

## PSALMUS XC.

*Laudem nobilem magnus David cecinit,*
*Pulchrichororum versuum ad nonam decadem.*
Æterne, habitans elati tutamen auxilii,
In velamento Regis cœlestis deget.
Dicet Regi: Robur et turris es.
Et Deus nobis es, et celebris fiducia auxilii:
Ipse quoniam liberabit de laqueo me venatorum,
Verboque instabilis tumultus trepido.
Ipse Rex umbroso te dorso circumteget.
Spem tuam pennis sub immortalibus reputabis.
Circum vero veritate armabit tanquam scuto.
Nunquam mihi nocturno in pavore formides.
Neque diurnum volante vehementer sagitta,
Neque subambulante opaca per funda negotio,
Neque a dæmonioque meridiano occurrente.
B A tua quidem læva manu mille pereant,
A dextra vero valde decem millia rursum cadent.
Verum nullus unquam te poterit prope accedere.
Verumtamen puris in oculis aspiciens,
Dignam peccato malefico videbis laudem.
Ipse quoniam mea vivifica spes es,
Sane apud Altissimum fers tuum, Robuste, robur.
Nunquam timueris omnino malorum concurren- [tem necessitatem,
Neque tabescas quod tuum corpus flagello dome- [tur
De te militiis cœlestibus jubebit,
Ut in omnibus circumeant viis.
Et te, Beate, manibus levantes portabunt,
Ne unquam gloriosum tuum pedem lapidi illidas.
C Aspidem confidenter calcabis et basiliscum,
Venenatum vero draconem pedibus et leonem con- [culcabis,
Liberaverim eum meæ fidentem spei animo,
Probe vero eum induam. Valde enim cognovit no- [men meum,
Eum supplicantem celerius ipse audiam,
Et miserum prope ero diebus omnibus;
Eripiens vero eum, decus semper gloriosum præ- [bebo,
Et eum replebo infinitis sæculis:
Semper ei lumen immortale ostendero.

## PSALMUS XCI.

*Primus nonagesimusque doctorum carminum*
*Psalmus iste diem ad Sabbati.*
D Quam bonum Regem inclytum canere,
Et gloriosissimum cithara tuum nomen celebrare!
Ab aurora annuntianti sedulo misericordiam,
Et tuam honorabilem veritatem per noctem,
Fidium plicanti decadem cithara sonora,
Quam gaudeo! Valde enim me tuis, Beate, factis [oblectes.
Et tuis divinis animo gaudebo operibus.
Quis laudaverit tuam magnificam artem?
Quis prudentiam cantet in præ cordiis profundam
Nullus utique hæc insipiens in animis cognoscet vir,
Neque stultitiæ deditus ipsa intelliget;
Cum iniquos florentes videbit sicut fœnum,

Ex alto videntes injustitiæ mystas,
Ut semper sui mali auctores sint exitii :
Immortalis vero tu solus, Rex, altissimus es.
Hostium pereant tuorum malignæ nationes.
Prorsus vero ventis dispergentur peccatores.
Velut vero unicornis meum cornu in altum festinet,
Et cana floreat in pingui senectus oleo.
Inimicorum laboriosum meorum vidi fletum aspectu,
Acerbis vero hostium lætabor nuntiis.
Tunc utique florebit sanctus mortalis velut palma,
Æque abundans ut viridis Libani cedrus.
Qui divinis domibus plantati sunt,
Atriis immortalibus florebunt Dei.
Pinguis abundantes adhuc in senectutis tempore,
Ut fas bene patientes annuntiabunt singula :
Quoniam rectus rex Deus semper est,
Neque iniquam præcordiis mentem catis occultat.

PSALMUS XCII.

*Die Sabbati carmen David cecinit*
*Circa nonagesimum secundum absolvens.*

Immortalis regnavit, suam vero induit decorem ;
Indutus vero amabili Rex accinctus est robore.
Secure vero inconcussum, infinitum posuit mundum.
Immortalis, tua vero sedes paratissima est semper :
Ab initio mundi beatissimus es solus.
Undique sonori fluvii clamant fluentis,
Fluctu undoso cupientes resonare,
Ab elevatarum multarum aquarum fremitu.
Omnia sunt stupenda elata opera maris.
Solus Rex admirabilis in excelsis est.
Testimonia tua, Rex, unanimem fidem habent
Templo puritas regio semper congruit,
Tempore infinito et in diebus longis.

PSALMUS XCIII.

*Quaternione Sabbatorum dulce David cecinit*
*Circa nonagesimum suave carmen tertium.*

Immortalis inter omnes semper est ultor Rex :
Nullum erubescens Rex pœnis disceptet
Pulchre leges ferens exaltare Rex terræ,
Mercedem superbis insolentiæ reddas.
Audi, Beate : quousque vi occupant improbi ?
Usquequo sceleris auctores gloriabuntur,
Lingua eructantes cordis iniquam contumeliam ?
Artifices flagitii satis loquentur irrequieta,
Qui tuum populum, Rex, solo posuerunt parem necessitati,
Et hæreditatem improbitate tuam diripuerunt capientes.
Pupillum interfecerunt, oppresserunt roviduam,
Et peregrinum domuerunt advenam sine adjutore.
Neque vindictam cœlestem regiam curabant.
Non enim Jacobi putabant Deum intelligere contumeliam.
Sed age, colligite animo hæc, stolidi, opera,
Quibus antea in insipientia vita, colligite animum.
An auditum aliis dans, non magis audiet ?
Aut luminis parens, aliorum non videbit opera ?

A Ὑψόθεν ὀπτεύοντας ἀθεσμοσύνης ὑποφήτας,
Ὄφρ' αἰεὶ σφετέροιο κακοῦ ἄρξειαν ὀλέθρου.
Ἀθάνατος δὲ σὺ μοῦνος, Ἄναξ, ὕψιστος ἐτύχθης.
Δυσμενέων ἀπόλοιτο τεῶν κακοεργέα φῦλα.
Πανσυδίῃ δ' ἀνέμοισι κεδασθήσονται ἀλεῖται,
Οἷα δὲ μουνοκερῆος ἐμὸν κέρας ὑψόσε θόοι,
Καὶ πολιὸν θαλέθοι περὶ πίονι γῆρας ἐλαίῳ.
Δυσμενέων πολύμοχθον ἐμῶν ἴδον οἶτον ὀπωπῇ,
Πικρῇς δ' ἀντιβίων τερφθήσομαι ἀγγελίῃσι.
Τῆμος ἄρ' ἀνθήσει ὅσιος βροτὸς οἷάτε φοῖνιξ,
Ἶσά γε βριθόμενος Χλοερῇ Λιβανίτιδι κέδρῳ.
Ὅσσοι θεσπεσίοισι δόμοις πεφυτευμένοι εἰσὶν,
Αὐλῇς ἀθανάτῃσιν ἐπανθήσουσι Θεοῖο.
Πιαλέου πλήθοντες ἔτι περὶ γήραος ὥρῃ,
Ὡς θέμις ἐσθλὰ παθόντες ἀπαγγελέουσιν ἕκαστα·
Οὕνεκεν ἰθύφρων βασιλεὺς Θεὸς αἰὲν ἐτύχθη,
Οὐδ' ἄδικον πραπίδεσσι νόον πινυτοῖσι καλύπτει.

ΨΑΛΜΟΣ Ϟ Β'.

Ἤματι Σαββάτου τὸ μέλος Δαυῒδος ἔμελψεν
Ἀμφ' ἐνενηκοστὸν δεύτερον ἐκτελέσας.

Ἀθάνατος βασίλευσεν, ἑὸν δ' ἐνεδύσατο κάλλος·
Δυσάμενος δ' ἐρατεινὸν Ἄναξ ἐζώσατο κάρτος·
Ἀσφαλέως δ' ἀδόνητον, ἄπειρον θήκατο κόσμον.
Ἄφθιτε, σεῖο δὲ θῶκος ἑτοιμότατος πέλει αἰεί·
Ἐκ παλάχῆς κόσμοιο μακάρτατος ἔπλεο μοῦνος.
Πάντοθεν εὐκέλαδοι ποταμοὶ βοόωσι ῥεέθροις,
Ῥοίζῳ κυματόεντι λιλαιόμενοι κελαρύζειν,
Ἐξ ἀναειρομένων πολέων ὑδάτων ἐρυμαγδοῦ.
Πάντα πέλει θηητὰ μετήορα ἔργα θαλάσσης·
C Μοῦνος Ἄναξ θηητὸς ἐν ὑψηλοῖσιν ἐτύχθη.
Μαρτυρίαι σευ, Ἄναξ, συμφράδμονα πίστιν ἔχουσι,
Νηῷ ἀκηρασίη βασιληΐῳ αἰὲν ἀρήρει,
Ὥρῃ ἀτερμάντῳ καὶ ἐπ' ἤμασι μηκεδανοῖσι.

ΨΑΛΜΟΣ Ϟ Γ'.

Τετράδι Σαββάτων γλυκερὸν Δαυῒδος ἄεισεν
Ἀμφ' ἐνενηκοστὸν ἡδὺ μέλος τρίτατον.

Ἀθάνατος μετὰ πᾶσιν ἀεὶ πέλει ἔκδικος ἐσσήν·
Οὔτιν' ἐρευθιόων Βασιλεὺς ποινῇσι δικάζοι.
Καλὰ θεμιστεύων ἀναείρεο, Κοίρανε γαίης·
Μισθὸν ὑπερφιάλοισιν ὑπερβασίας ἀποτίσοις.
Κλῦθι, Μάκαρ· τέο μέχρι βίῃ κρατέουσιν ἀλεῖται ;
Μέχρι τεῦ ἀμπλακίης ὑποφήτορες αὐχήσουσι,
Γλώσσῃ ἐρευγόμενοι κραδίης ἀθεμίστιον ὕβριν ;
Ἐργατῖναι κακότητος ἅδην ἐρέουσιν ἄπαυστα,
D Οἳ σεο λαὸν, Ἄναξ, δαπέδῳ θέσαν ἶσον ἀνάγκῃ,
Καὶ κλῆρον κακότητι τεὸν διέπερσαν ἑλόντες.
Ὀρφανικὸν κατέπεφνον, ἐχειρώσαντο δὲ χήρην,
Καὶ ξεῖνον δαμάσαντο νήλυδα νόσφιν ἀρωγοῦ.
Οὐδ' ὄπιν οὐρανίην βασιλήϊον ἐμπάζοντο.
Οὐ γὰρ Ἰακώβου δόκεον Θεὸν ἴδμεναι ὕβριν.
Ἀλλ' ἄγε, σύνθεσθε κραδίῃ τάδε, νήπιοι, ἔργα·
Οἷς πρὶν ἐπ' ἀφροσύνῃ βίοτος, ξυναγείρατε θυμόν.
Ἦ ῥ' ἀκοὴν ἑτέροισι διδοὺς, οὐ μᾶλλον ἀκούσει ;
Ἦ φάεος γενέτης, ἑτέρων οὐκ ὄψεται ἔργα ;

Ἔθνεα ραιδεύων, κακίην οὐκ ἐλέγχειν,
Ὃς μοῦνος μερόπεσσι νοήματα πάντα φυτεύει ;
Μαψιδίην δεδάηκεν Ἄναξ μεροπηΐδα βουλὴν,
Ὄλβιος ὅς ῥα τεῇσιν ὑπ' ἐννεσίῃσι δαμείη,
Θεσμοτόκους μελεδῶνας ἑῇς φρεσὶ σεῖο νοήσας.
Μείλιχα βουλεύων κακίης ἵνα καιρὸν ἀλύξῃ,
Βόθρος ἕως δυσάλυκτος ἀτασθάλλοντι φανείη.
Οὐ γὰρ ἑῆς ποτε λαόν ἀποῤῥίψειεν ἀπωπῆς,
Οὐδὲ καταφθιμένην σφετέρην ὑπερόψεται αἶσαν·
Εἵως κρῖμα τεκοῦσα δεκαιοσύνη πάλιν ἔλθῃ,
Πάντας ἀποκρεμόωσα φίλων ἰθύφρονας ἔργων.
Τίς μ' ὀλοῶν τεύξειεν ἀναστήσας ὀλετῆρα ;

Τίς δέ με θωρήξας ἀνόμων ἐπὶ δῆριν ἐγείρῃ ;

Εἰ μή μοι μενέχαρμος Ἄναξ ἐπιτάῤῥοθος ἔστη,
Καί κεν ἐμὸς πεπότητο συνέστιος ἄϊδι θυμός.
Εὖτε γὰρ ὀκλάζοντι νόῳ ποτὶ φύζαν ἐδέγμην,

Αὐτίκα σή μ' ἐλεητὺς, Ἄναξ, ἐσάωσε φανεῖσα·

Ὅσσον δ' ἀμφ' ὀδύνῃσιν ἀμέτρητόν φέρον ἄλγος,

Σῇσι παραιφασίῃσιν ἐμὸν περὶ θυμὸν ἰάνθην.
Μή τοι θῶκος, Ἄναξ, ἀθεμίστιος ἐγγύθεν ἔστω,
Ὅστις ῥιγεδανῷ τελέει θεσπίσματι μόχθον,
Ἀνέρος ἰσχανόων ὁσίου διὰ θυμὸν ὀλέσσαι,
Μαψιδίως ποθὲν οἶτον ἀναιτίῳ αἵματι ῥάπτειν.

Ἀλλά μοι αὐτὸς Ἄναξ πανυπέρτατος ἕρκος ἔγεντο,
Ἐλπωρῆς ἐπίκουρος ἐμῆς Θεὸς ἦλθεν ἑτοῖμος·
Ὃς κείνοις ὀπάσειεν ἑῆς ἀντάξια λώβης,
Καί σφεας ἀμφ' ἔργοισιν Ἄναξ σφετέροις ἀμαθύνει (84).

## ΨΑΛΜΟΣ ϞΔ'.

Δαυΐδου πινυτοῦ καλλιχόρου κιθάρης
Ἀμφ' ἐνενηκοστὸν τέτρατος εὐεπίη.
Δεῦτ', ἐπαγαλλόμενοι γηθήσομεν ἀμφὶ Ἄνακτι,
Μέλψομεν ἀθανάτῳ παιήονα Ποιμένι κόσμου.
Ἀμφ' ἀγανοφροσύνῃ θείην μεθέπωμεν ὀπωπὴν,
Γηθόμενοι ψαλμοῖσιν ὁμῶς ἀλαλάξομεν ὕμνον·
Οὕνεκα δὴ μετὰ πᾶσι Θεὸς μέγα κάρτος ἀέξει,

Καὶ πάντων μακάρων βασιλεύτατος αὐτὸς ἐτύχθη.
Οὔποτ' ἀποῤῥίψειε φίλον καὶ ἐνηέα λαὸν,
Ἀθανάτῳ παλάμῃ μεθέπων κλυτὰ πείρατα γαίης,
Οὔρεσιν ὑψικόμοισιν ὑπέρτατος ἐμβασιλεύων.
Αὐτὸς πόντον ἔτευξεν, ἀνακτορίῃ δέ μιν ἴσχει,
Καὶ χθόνα πουλυβότειραν ἑαῖς τεκτήνατο χερσί.

Δεῦτε, λιταζόμενοι περὶ γούνασιν οἷσι πέσωμεν,
Ἄντα Θεοῦ κλαύσωμεν, ἑὸν δ' οἰκτίσσεται ἔργον,
Οὕνεκεν ἡμερίων βασιλεὺς ἅμα καὶ Θεὸς αὐτὸς,
Τοῦ δ' ἡμεῖς ἄρα λαὸς ὁμοῦ καὶ θρέμματα ποίης,
Σήμερον εἴ κεν Ἄνακτος ἀκούσετε οὔασιν αὐδὴν,
Μή τινι χαλκείη κραδίη καὶ ἀμείλιχος εἴη,
Ὡς ὁπότ' Ἀθανάτου κραδίην ἐρεθίζετε ἔργοις·

(84) Ἀμαθόνει. Forte, ἀμαθύνοι, *conficiat*. EDIT.

A Gentes erudiens, improbitatem non novit arguere,
Qui solus hominibus sensus omnes plantat?
Vanum novit Rex humanum consilium,
Beatus qui tuis a mandatis domitus fuerit,
Legiparas curas suis animis tuas cogitans.
Mitia consulens vitii ut tempus effugiat,
Fovea donec inevitabilis ineptienti pateat.
Non enim suo unquam populum projiciet aspectu,
Neque marcescentem suam negliget partem,
Quousque judicium pariens justitia rursum venerit
Omnes suspendes charorum rectæ mentis operum.
Quis mihi perniciosorum paraverit consurgens oc-
[ cisorem ?
Quis vero me armans injustorum ad pugnam ex-
citaverit ?
B Nisi mihi bellicosus Rex adjutor stetisset,
Etiam meus volasset contubernalis inferno animus.
Quando enim claudicanti animo ad fugam exspe-
[ ctavi,
Statim tua me misericordia, Rex, servavit con-
[ spicata.
Quantum vero in doloribus immensum ferebam
( cruciatum,
Tuis consolationibus meo in animo exhilaratus sum,
Nunquid te sedes, Rex, iniqua prope stet,
Quæ rigido facit vaticinio laborem,
Viri cupiebant sancti animum perdere :
Frustra alicunde perniciem innocenti sanguini
( consuere.
Sed mihi ipse Rex supremus munimentum factus est,
Fiduciæ adjutor meæ Deus venit paratus :
C Qui illis reddat eorum respondentia contumeliæ,
Et eos in operibus Rex suis conficit.

## PSALMUS XCIV.

*Davidis prudentis elegantis citharæ*
*Circa nonagesimum quarta melodia.*
Venite, exsultantes lætemur de Rege,
Canamus immortali pæana Pastori mundi.
Cum hilaritate divinum quæramus vultum,
Lætantes hymnis similiter personemus hymnum;
Quoniam sane inter omnes Deus magnum robur
( auget,
Et omnium beatorum regalissimus ipse est.
Nunquam adjiciat charum et mitem populum,
Immortali manu moderans nobiles terminos terræ
D Montibus alticomis summus imperans.
Ipse mare fecit, imperio vero ipsum tenet,
Et terram multorum altricem suis fabricavit ma-
( nibus.
Venite, precantes ad genua ipsius procidamus,
Ante Deum ploremus, suum vero miserabitur opus,
Quia diurnorum Rex simul et Deus ipse,
Nos vero utique populus ejus et alumni pascuæ.
Hodie si forte Regis audieritis auribus vocem,
Ne cui æreum cor et immite sit,
Sicut quando Immortalis cor irritastis operibus,

Ut antea cum Deum in scabro deserto,
Vestri olim tentaverunt patres,
Qui mea quadraginta annis viderunt opera et potentiam.

Inde ego illam perniciosam odi generationem;
Dixi vero: Cordibus semper erraverunt,
Nostras autem non prorsus intellexerunt vias;
Juravi iratus, non ipsos requiem videre,

PSALMUS XCV.

*Domo illustris excitata Regis.*
*David resonuit rex post prædæ partem,*
*Circa nonagesimum quintum carmen facundum.*

Canite mihi Regem novis carminibus,
Omnis, præpotentem celebrate Pastorem, terra:
Nomen gloriosum resonate Regis:
Fortunato dic in diem suum annuntiate lumen:
Gentibus variis suum annuntiate honorem.
Miracula gloriosa Dei nuntiate populis:
Quoniam sane magnus est, et laudabilis semper est,
Et pavorem in omnibus diis validissimum tenet.
Dæmonum idola dii sunt gentibus omnes;
Cœlum rursum firmum suo Deus condidit consilio.
Laus et magnus decor suorum in conspectu oculorum.

Templo puritas et illustris congruit gloria.
Afferte regi Deo honoremque et gloriam;
Afferte honorande veram gloriam Regi.
Capientes sacrificia vestra introite in atria:
Atrio in sancto rogate Pastorem mundi.
Ante Deum tellus universa commoveatur Regem.
Dicite populis quidem: Deus in omnibus regnat.
Etenim orbem firmavit, quem non tempus novit movere.

Populos æquis semper legibus judicet.
Cœli lætentur, exsultet vero simul terra;
Mare turbetur, et quæ nutrit unda maris:
Frugiferis campis simul universa gaudeant.
Utique tunc exsultent simul ligna crebra et silva,
Ante Deum post terram festinantem regem:
Venit enim homines miseros judicare,
Omnes in æquitate vocans veracem animum.
Linguam veritate effundens immobilem populis.

PSALMUS XCVI.

*Davidis restitutam suam quando accepit terram,*
*Circa nonagesimum sextum carmen charum.*

Gaude, tellus, tui origo est qui cœlestibus imperat,
Gaudete ob splendorem, insulæ cani maris.
Prope Rex nube circumdatus et turbine,
Sedem sub æquitate judicii in omnibus ornans,

Imperium forte præibit ardens ignis,
Ut hinc et hinc exuret errones.
Tellus a divinis illuminabatur splendoribus:
Ut vero vidii, ut commota sunt fundamenta undique terræ.

Montes autem circum Regem similiter fluxerunt ceræ,

A Ὡς πάρος εὖτε Θεοῖο κατὰ τρηχεῖαν ἔρημον,
Ὑμέτεροι τὸ πρόσθεν ἐπειρήσαντο τοκῆες,
Οἵ μευ τεσσαράκοντ' ἐτέων ἴδον ἔργα καὶ ἀλκήν.

Ἔνθεν ἐγὼ κείνην ὀλοὴν ἔστυξα γενέθλην,
Ἐκ δ' ἐφάμην. Κραδίῃσι διηνεκέως ἀλάληνται,
Ἡμετέρας δ' οὐ πάμπαν ἐπεφράσσαντο κελεύθους·
Ὤμοσα μηνίσας, μὴ σφᾶς κατάπαυσιν ἰδέσθαι.

ΨΑΛΜΟΣ ϞΕʹ.

Δώματος αἰγλήεντος ἀνεγρομένου Βασιλῆος,
Δαυΐδος κελάδησεν ἄναξ μετὰ ληΐδος αἶσαν,
Ἀμφ' ἐνενηκοστὸν πέμπτον ἄεισμα λιγύ.

Μέλψατέ μοι Βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,
Πᾶσα, μεγασθενέτην ἀναμέλψατε Ποιμένα γαῖα·
Οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος·
Αἴσιον ἦμαρ ἐπ' ἦμαρ ἑὸν σημήνατε φέγγος.
B Ἔθνεσι παντοδαποῖσιν ἑὴν ἀγγείλατε τιμήν.
Θαύματα τιμήεντα Θεοῦ μηνύσατε λαοῖς·
Οὕνεκα δὴ μέγας ἐστὶ, καὶ αἰνετὸς αἰὲν ἐτύχθη,
Καὶ δέος ἐν πάντεσσι θεοῖς κρατερώτατον ἴσχει.
Δαιμονίων εἴδωλα θεοὶ πέλον ἔθνεσι πάντες·
Οὐρανὸν αὖ πολύχαλκον ἑῇ Θεὸς ἔκτισε βουλῇ·
Αἶνος καὶ μέγα κάλλος ἑῶν κατ' ἐναντίον ὄσσων.

Νηῷ ἀκηρασίη καὶ ἀριπρεπὲς ἥρμοσεν εὖχος.
Οἴσετε παμβασιλῆι Θεῷ τιμήν τε καὶ εὖχος
Οἴσετε τιμήεντι φερώνυμον εὖχος Ἄνακτι.
Δεξάμενοι θυσίας σφετέρας νίσσεσθε ἐπ' αὐλάς·
Αὐλῇ ἐν εὐαγέϊ λιτανεύσατε Ποιμένα κόσμου.
Ἄντα Θεοῦ χθὼν πᾶσα ταρασσέσθω βασιλῆος.
Εἴπατε δήμοισί γε· Θεὸς μετὰ πᾶσιν ἀνάσσει.
C Καὶ γὰρ κύκλον ἔρεισε, τὸν οὐ χρόνος οἶδε δονῆσαι.

Λαοὺς ἰθυπόροισιν ἀεὶ θεσμοῖσι δικάζοι.
Οὐρανοὶ εὐφραίνοιντο, ἀγαλλέσθω δ' ἅμα γαῖα·
Πόντος ὀρινέσθω, καὶ ὅσα τρέφει οἶδμα θαλάσσης·
Καρποτόκοις πεδίοισιν ὁμοῦ σύμπαντα χαρείη.
Δή τότε γηθήσειεν ὁμοῦ δρυμὰ πυκνὰ καὶ ὕλη,
Ἄντα Θεοῦ μετὰ γαῖαν ἐπειγομένου βασιλῆος.
Ἤλυθε γὰρ μερόπεσσιν ὀϊζυροῖσι δικάζειν,
Πάντας (85) ὑπ' εὐδικίης καλέων ἀψευδέα θυμὸν,
Γλῶσσαν ἀληθείῃ προχέων ἀκλινέα λαοῖς.

ΨΑΛΜΟΣ ϞϚʹ.

Δαυΐδου παλίνορσον ἑὴν ὅτε δέξατο γαῖαν,
Ἀμφ' ἐνενηκοστὸν ἕκτον ἄεισμα φίλον

Χαῖρε, χθὼν, σέθεν ἦρξεν ὃς οὐρανίοισιν ἀνάσσει,
Χαίρετ' ἐπ' ἀγλαΐῃ, νῆσοι πολιῆς ἁλοσύδνης.
D Ἐγγὺς Ἄναξ νεφέλῃ πεπυκασμένος ἠδὲ θυέλλῃ,
Θῶκον ὑπ' εὐδικίῃ (86) κρίσιος περὶ πάντα πυκάζων.

Κοιρανίης σθεναρῆς προπορεύσεται αἰθόμενον πῦρ,
Ὄφρα κεν ἔνθα καὶ ἔνθα καταφλέξειεν ἀλείτας.
Χθὼν ὑπὸ θεσπεσίῃσιν ἐλάμπετο μαρμαρυγῇσιν·
Ὡς δ' ἴδεν, ὡς δεδόνητο θεμείλια πάντοσε γαίης.

Οὔρεα δ' ἀμφὶ Ἄνακτ, ὁμῶς κατετήκετο κηρῷ,

(85) Πάντας, etc. Forte legendum sit, πάντας ἐπ' εὐδικίην καλέων ἀψευδέϊ θυμῷ. Edit.

(86) Ὑπ' εὐδικίῃ. Forte, ἐπ' εὐδικίῃ. Edit.

Γαίης παντοδαπῆς κατεναντία Παμβασιλῆος.
Οὐρανοὶ ἀστερόεντες ἀνήγγειλαν θέμιν αὐτοῦ,
Καὶ κλέος εἶδον ἅπαντες ἐπουρανίου Βασιλῆος.
Αἰδείσθων προκυλινδόμενοι γλυπτοῖσι πάροιθε,
Κῦδος ὅσοι παρέχουσιν ἐνὶ σφετέροις εἰδώλοις.
Ἄγγελοι αἰγλήεντες, ὁμῶς ὑποκλίνατε γοῦνα.
Τέρπῃ ἑῇσιν ἐνὶ φρεσὶν ἔξοχα οὔρεα Σιὼν,
Καὶ πραπίδεσσι χάροντο ποσίκροτ' Ἰούδα κοῦραι,

Ὑψιμέδοντος ἕκητι μεγασθένεος σέο δίκης·
Οὕνεκα μοῦνος ἔπλευ, Πανυπέρτατε, τέρμασι γαίης,
Ὡς οὔτις, κλυτόμητι λίην, θεὸς ὑψόσε ἤρθης.

Ἐκ κραδίης φιλέοντες οἶον Θεὸν, μέρμερα θέσθε,
Ὧν θυμὸν φιλέει πανεπίσκοπος ἔξοχα δούλων,

Καί σφεας αἰὲν ῥύσετ' ἀλάστορος ἐκ παλαμάων.
Ἀντολίη περίλαμψεν ἐπὶ βλεφάροισι δικαίου,
Τερπωλή τ' ἀφ' ὕπερθεν ἐσίκετο εὐθέων ἦτορ.
Παμβασιλῆϊ χάρητε ἀμύμονες ἰθυδίκαι,
Καὶ βροτέοις οὔασιν ἐνάψατε τοιό γε μνήμην.

ΨΑΛΜΟΣ ϞΖ'.

Δαυΐδος τόδε ἀμφ' ἐνηκοστῷ ἕβδομον ἦσε.
Μέλψατέ μοι Βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,
Μοῦνος ἐπεὶ θηητὰ σοφαῖς ποιήσατο χερσί.
Δεξιτερῇ σφετέρῃ ζωαρκέϊ πάντα σάωσε,
Καὶ πολυκυδήεντι βραχίονι πάντα φυλάσσει.
Παντοδαπῶν ἀλκτῆρα κακῶν ἀνέφηνε βροτοῖσιν.

Ἀθάνατον, κατέναντα πολυσπερέων γενεάων,
Σφωιτέρην ἀνέτειλε δικαιοσύνην ἐρατεινήν.
Μνήσατο γὰρ κατὰ θυμὸν Ἰακώβοιο μελάθρων,
Εἷό τ' ἀληθείης περὶ δώμασιν Ἰσραήλου.
Ἀμφαδίην ἐνόησαν ὅλης κλυτὰ πείρατα γαίης,
Φέγγος ἀλεξίκακον μεγαλοσθενέος Βασιλῆος.
Πᾶσα μεγακλήεντ' ἀλαλάξατε Ποιμένι γαῖα·
Ψάλλετε γηθόσυνοι, λιγυρῷ δ' ἀναμέλψατε κώμῳ·
Εὐκελάδῳ κιθάρῃ φορμίζετε Παμβασιλῆϊ·
Ἀμφ' ἐλατῆς σάλπιγξι (καί οἱ κέρας ἴαχε βόμβον)·

Ἀντίον ἀθανάτου ἀλαλάξατε Παμβασιλῆος.
Πόντος ὀρινέσθω, καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
Κύκλος ὅλος, καὶ πάντα τάπερ χθόνα ναιετάουσι.
Χερσὶν ἀγειρέσθων ποταμοὶ πλαταγεῦντες ὁμαρτῇ
Οὔρεα τερπέσθων θείου κατέναντα προσώπου.
Εἶσι γὰρ, ἦλθε δὲ μᾶλλον, ὅπως χθονὶ καλὰ δικά-[ζοι,
Πάντας ὑπ' εὐδικίης (87-88) καλέων ἀψευδέα θεσμὸν,
Γλῶσσαν ἐπεσσυμένοις προϊεὶς ἀκλινέα λαοῖς·

ΨΑΛΜΟΣ ϞΗ'.

Et seniorum sacris celebrate sedibus.
Fluxum magnum remisit puchre fluentis fluminis
Aquosa vero via injucunda tabescebat siti.
Salsuginem multorum nutricem cito fecit regionem
Squalidam malitia vicinorum habitatorum :
At desertum, fluctuosum posuit stagnum,
Et de terra fluminis in morem exibant aquæ inaquosa,
Ubi quondam esurientes habitatores miseri erant :
Et populi civitates tenuerunt accolæ boni.
Vineas plantaverunt, seminaverunt vero agros,
Et vitæ gavisi sunt abundantia fructuum amabili.
Laudavit quidem Deus opus, multiplicati sunt populi,
Et ipsi quadrupedum greges pascebantur pascuis :
Ibi languentes hæsitabant afflictione,
Doloribus oppresique et inefficacibus cruciatibus,
Gravis vero duces inglorios occupavit contumelia.
Ipsi vero viam relinquentes, in inviis errarunt.
De autem inopia adjutor venit pauperi,
Collocans familias tanquam greges pulchros pastorum.
Recti mente videntes in lætitiis gaudeant :
Iniquitas vero manifesta suum os grave aperiet.
Quis prudens hæc omnia in animis novit custodire,
Immortalis vero misericordiam pectoribus intelligere ?

## PSALMUS CVII.

*Davidis centesimus est et septimus hymnus.*

Animus paratus meus, Provide, animus paratus,
Gloria mea celebrabo te et in psalmis canam.
Exsurge mihi, cithara, et meorum psalterium hymeorum.
Studiose diluculo exspergefactus resonabo :
Tuum carmen celebre. Rex, populis clamabo,
Et populis multis stridulam laudem canam.
Cœlestes misericordiam habes supra portas,
Et tuas veritas nubium ex adverso volat.
Elevare super cœlestes portas, supreme Pastor,
Et tua immensa gloria in terram universam veniat,
Ut amicos cupientes eripias necessitate,
Dextera me serva, et meam exaudi vocem.
Locutus est Rex sancto suo concors verbum :
« Exaltatus Sichema dividam aliquando,
Et vallem dimetiar frequentium tabernaculorum.
Noster Galaadus, et noster Manasses,
Ephremus nostri capitis robur est :
At gloriosus Rex meus est Judas,
Fiduciæ vero lebes meæ est Moabus laudabilis.
Extendam calceamentum meum ante Idumæam,
Pedibus sub nostris alienæ gentes domitæ sunt.
Vellem munitæ inclytum civitatis ducem,
Aut etiam directorem Idumææ ad populos. »
Nonne ipse, Rex, dux eris qui prius repulisti,
Neque armatis venies nobis adjutor

A Εὖ μιν ἀριπρεπέων κλισίης ἀνείρατε λαῶν,
Καὶ προτερηγενέων ἱεροῖς ἀναμέλψατε θώκοις.
Χεῦμα μέγ' ἐξανέηκεν εὐῤῥεῖος ποταμοῖο,
Ὑδρηλὴ δὲ κέλευθος ἀτερπέϊ τήκετο δίψῃ·
Ἅλμην πουλυβότειραν ἄφαρ ποιήσατο χώρην,
Καρφομένην κακότητι περικτιόνων ναετήρων·
Αὐτὰρ ἐρημαίαν πολυκύμονα θήκατο λίμνην.
Καὶ γαίης ποταμηδὸν ἐπέχραον ὕδατ' ἀνύδρου (5-8),
Ἧ ποτὲ πειναλέοι νάσται πολυπήμονες ἦσαν·
Καὶ δῆμοι πόλιας κατέχον περιναιέται ἐσθλοί.
Ημερίδας κατέπησαν, ἐπεσπείραντο δὲ χώρας,
Καὶ βιότου κεχάρηντο τελεσφορίης ἐρητεινῆς.
Ἥνεσε μὲν Θεὸς ἔργον, ἀνηὔξαντο δὲ λαοὶ,
B Καί σφισι τετραπόδων ἀγέλαι φέρβοντο νομῆσιν·
Ἔνθ' ὀλιγοδρανέοντες ἀμηχανέεσκον ἀνίῃ,
Ἄλγεσι τειρόμενοί τε καὶ ἀπρήκτοις ὀδύνῃσι·
Δεινὴ δ' ἡγεμονῆας ἀκυδέας ἄμφεπε λώβη.
Οἱ δὲ τρίβον προλιπόντες, ἐπ' ἀτρίπτοις ἀλάληντο.
Εκ δ' ἀχρημοσύνης ἐπιτάῤῥοθος ἦλθε πενιχρῷ,
Στησάμενος φρήτρας ἅτε πώεα καλὰ νομήων.
Ἰθύνοοι λεύσσοντες ἐπ' εὐφροσύνῃσι χαρεῖεν.
Ἀμπλακίη δ' ἀρίδηλος ἑὸν στόμα δεινὸν ἀνοίξει·
Τίς πινυτὸς τάγε πάντα μετὰ φρεσὶν οἶδε φυλάξαι,
Ἀθανάτου δ' ἐλεημοσύνην στέρνοισι νοῆσαι ;

## ΨΑΛΜΟΣ ΡΖ'.

C Δαυΐδου ἑκατοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος.
Θυμὸς ἑτοῖμος ἐμὸς, Πανεπίσκοπε, θυμὸς ἑτοῖμος.
Κύδεϊ ᾧ μέλψω σε καὶ ἐν ψαλμοῖσιν ἀείσω.
Ἔγρεό μοι, φόρμιγξ, καὶ ἐμῶν ψαλτήριον ὕμνων.
Ἐμμαπέως ἠῶθεν ἀνεγρόμενος κελαδήσω·
Σὸν μέλος ἀμφιβόητον, Ἄναξ, λαοῖσι βοήσω,
Καὶ δήμοις πολέσιν λιγυρόκτυπον αἶνον ἀείσω.
Οὐρανίων ἐλεητὺν ἔχεις καθύπερθε πυλάων,
Καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.
Ὄρσ' ὑπὲρ οὐρανίων πυλέων, πανυπέρτατε Ποιμὴν,
Καὶ σέθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι,
Ὄφρα φίλους μεμαῶτας ἀφαρπάξειας ἀνάγκης.
Δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς.
Εἶπεν Ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον·
« Ὑψωθεὶς Σίκημα θοῶς διδάσσομαι ἤδη,
D Καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων.
Ἡμέτερος Γαλαᾶδος, χ' ἡμέτερος Μανασσῆς,
Ἔφρεμος ἡμετεροιο καρήατος ἄλκαρ ἐτύχθη·
Αὐτὰρ εὐκλειὴς βασιλεὺς ἐμός ἐστιν Ἰούδας,
Ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μωᾶβος ἀμύμων.
Ἐκτείναιμι πέδιλον ἐμὸν προπάροιθ' Ἰδυμαίης,
Ποσσὶν ὑφ' ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.
Ἤθελον εὐπύργου κλυτὸν ἄττεως ἡγεμονῆα,
Ἠὲ καὶ ἰθυντῆρα Ἰδουμαίης μετὰ δήμους. »
Ἦ ῥ' οὐκ αὐτὸς, Ἄναξ, ἡγήσεαι, ὁ πρὶν ἐλάσσας,
Οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός ;

(5-8) Γαίης... ἀνύδρου. Melius legeretur, γαίῃ. . . ἀνύδρῳ. Edit.

Τειρομένοις ἐπίκουρος, Ἄναξ, ἀναφανδὰ φανείης·
Ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίζοι (9).
Ἐν κρατερῷ Βασιλῆι βίην τελέσωμεν ἑτοίμην,
Δυσμενέων ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.

### ΨΑΛΜΟΣ ΡΗ'.

Δαυΐδου λιγυρὸν μέλος ὄγδοον ἀμφ' ἑκατοστῷ
Αἶνον ἐμὸν μὴ πάγχυ, Μάκαρ, σιγῇ παρελάσσῃς·
Ἀμφ' ἐμοὶ ὡς δόλιον χαίνει στόμα δεινὸς ἀλείτης.
Θηξάμενοι γλώσσας με κακηγορέεσκον ἀνιγρὰς,
Καὶ μύθοις στυγεροῖσι πεποιθότες ἠερέθοντο,
Μαψιδίως τ' ὀλοὴν ἐπὶ φύλοπιν ὡπλίζοντο·
Οὓς φιλέειν δοκέεσκον, ἐμοὶ κακὰ μᾶλλον ἔραπτον.

Αὐτὰρ ἐγὼ λιτάνευον ἐς οὐρανὸν ὄμμα τιταίνων.
Ἀντ' εὐεργεσίης ὀλοὰς δόσαν ἄμμιν ἀνίας,
Ἀντὶ δὲ νωιτέρης φιλίης κακὸν ἔχθος ἕλοντο.
Τοῖο καθηγητῆρα πόροις κακοεργέα φῶτα·
Διάβολος δ' ἄρα οἱ σταθερὸς ἐν δεξιᾷ μίμνοι.

Κρινόμενος ψήφοισι δίκης, δεδμημένος ἔλθοι·
Εὐχωλὴ δ' ὀλοή οἱ ἀτάσθαλος αἶψα γενέσθω.
Ἤματά οἱ γενοίατ' ὀλίγιστά τ' ἀνιηρά τε,
Καί οἱ ἱροσύνην ἐρικυδέα δέξεται ἄλλος.
Ὀρφανίη σφετέρους ἀλιτήμονας υἷας ἐρύξοι,
Χηροσύνη δὲ δάμαρτα κακὴ μεθέπουσα πεδήσει (10).
Παῖδες πτωχεύουσι παρ' ἀλλοδαποῖς μετανάσται·
Οὔδεος ἐξελάοιντο φίλου ἀέκοντες ἀνάγκῃ.
Πάντα οἱ ὅσσα πέλονται ἀνιχνεύσειε δανειστής,
Καὶ σφετέρων καμάτων ἀλλότριοι ἅρπαγες εἶεν.
Μή οἱ δευομένων ἐπιτάῤῥοθος ἄλλοθεν ἔλθοι,
Μηδέ οἱ ὀρφανικήν τις ἐποικτείσαιτο γενέθλην.
Ἔσται οἱ φίλα τέκνα κακοῦ μέλπηθρον ὀλέθρου,
Οὔνομ' ἄϊστον ἄπυστον ἐπ' ἤματι πάμπαν ὀλέσσει.
Ἄντα Θεοῦ κακίη σφετέρων μνήσαιτο τοκήων,
Μηδέ οἱ ἀμπλακίη στυγερῆς παύσοιτο τεκούσης.
Λωβητοὶ Βασιλῆος ἀεὶ κατέναντα μενόντων,
Καὶ σφεων ἐκ γαίης ἀγαθῆς μνημήιον ἔρροι.
Οὐ γὰρ ἐπεμνήσθη ἐλεητύος ἄξια ῥέξαι,

Ἀκτέανον καὶ πτωχὸν ἀτάσθαλος ἄνδρα διώκων,
Φῶτα λιλαιόμενος βαρυώδυνον ἐξεναρίξαι.
Ἣν δὲ λίην ἀγάπαζε, θοῶς δέξαιτο κατάρην·

Εὐλογίην ἔστυξε, φύγεν δέ ἑ τῆλε τραπεῖσα.

Ἀρὴν οὐλομένην ἰκέλην ἐνεδύσατο πέπλῳ,
Οἷα δὲ διψώοντι ἐπήλυθεν ἔγκασιν ὕδωρ,
Ὀστέα πιαίνουσα κατὰ χρέος ἠύτ' ἔλαιον·
Ἀντὶ δ' ἀναγκαίου μιν ἐπὶ χροὸς εἵματος ἵζοι,

Καὶ ζώνης σφετέρης ἣν ζώννυται αἰὲν ἐπ' ἔργῳ.
Μισθὸς ὅδ' οἷς Βασιλῆι (11) κακηγορέειν με μέμηλεν,
Οἷς τε μέλει ψυχῇ μευ ἀπείριτα κήδεα τεύχειν.

Ἀλλὰ σὺ, Παμβασιλεῦ, μοι ἄκος σέθεν εἵνεκα τεύχοις,
Οὕνεκα μειλιχίησι (12) τεὴν ἐλεητὺν ὀφέλλοις.
Ἀκτέανος καὶ πτωχὸς ἐγὼ, σὺ δὲ μή με μεθείης,

(9) Ἐγγυαλίζοι. Forte, ἐγγυαλίζοις. Edit.
(10) Πεδήσει. Forte, πεδήσει, vel πεδῆσαι. Id.

A Oppressis defensor, Rex, palam appareas
Nobis vero vanum mortalium lumen præbeat.
In valido Rege vim faciamus paratam,
Inimicorum terribiliter superbiam deprimat.

### PSALMUS CVIII.

*Davidis canorum carmen octavum supra centesimum.*
Laudem meam ne prorsus, Beate, silentio prætereas:
Super me quia dolosum aperit os sævus peccator.
Acuentes linguas mihi maledicebant graves,
Et sermonibus odiosis confisi volitabant,
Frustraque perniciosam ad pugnam armabantur.
Quos amare putabam, mihi mala magis machina- [bantur.
At ego orabam in cœlum oculum tendens.
Pro beneficio pernicioso dederunt nobis cruciatus,
B Pro autem nostro amore malum odium elegerunt.
Huic magistrum præbeas maleficum virum,
Diabolus vero utique ipsi firmus ad dexteram [maneat.
Judicatus suffragiis justitiæ, vinctus veniat:
Oratio vero perniciosa ipsi nefanda statim fiat.
Dies ipsi fiant paucissimique tristesque,
Et ejus sacerdotium illustre accipiat alius.
Orbitas suos nocentes filios occupet,
Viduitas vero uxorem mala subsequens compediat.
Filii mendicabunt apud alienigenas profugi,
Limine ejiciantur charo inviti necessitate.
Omnia ipsi quæcunque sunt, scrutetur fenerator;
Et suorum laborum alieni raptores sint.
Non ipsi carentium suppeditator aliunde veniat,
Neque ipsi orphanam aliquis miseretur prolem.
C Erunt ipsi chara pignora mali ludibrium exitii,
Nomen obscurum inauditum in die omnino peribit.
Coram Deo improbitas suorum recordetur paren- [tum.
Neque ipsi peccatum odiosæ cesset matris.
Infames Regis semper in conspectu maneant,
Et eorum de terra bona memoriale pereat.
Non enim recordatus est commiseratione digna [facere,
Inopem et mendicum sceleratus virum persequens,
Virum cupiens doloribus onustum interficere.
Quam vero valde dilexit, cito accipiat maledi- [ctionem:
Benedictionem odio persecutus est, fugit eum [procul conversa.
D Maledictionem perniciosam similem induit pallio.
Tanquam vero sitientem occupavit viscera aqua,
Ossa saginans opportune tanquam oleum.
Pro autem necessario ipsum in corpore amictu oc- [cupet,
Et zona sua qua cingitur semper in opere.
Merces ista quibus Regi vituperare me curæ est,
Quibusque curæ est animæ meæ infinitos dolores [facere.
Sed tu, Domine, mihi medicinam tui causa facias,
Quia mansuetudinibus tuam misericordiam augeas.
Inops et pauper ego, tu vero ne me deseras,

(11) Βασιλῆι. Forte, βασιλῆα. Edit.
(12) Μειλιχίησι, Forte, μειλιχίοισι. Id.

Noster membris concutitur intrinsecus animus.
Inclinatæ umbræ æqualiter animo mœrebam concussus,
Locustis æthereis persimilis excussus sum.
Domitus sum chara genua tremens ab imbelli fame,
Et corpus luculento immutatum estabsque oleo.
Inde satis apud omnes ego ludibrium factus sum.
Ut me viderunt, sic caput movebant dolosum quilibet.
Sed, Beate, vocanti Deus adjutor venias,
Et mihi tuam misericordiam, Rex, opitulatricem præbeas,
Ut tuæ manus bonam cognoscant opem,
Quam tuo cogitabas, Rex, famulo perficere.
Illi exsecrabantur, at tu mihi felicia dederis.
Dedecus insurgentibus meis hostibus sit:
Tuus vero honorabilis famulus animis undique gaudeat.
Qui me vituperant, semper subeant reprehensionem.
Duplici autem pallio simile mendaciam induant.
Celebrabo carminibus in ore Dominum,
Et multorum in medio suam gloriam prædicabo.
Quoniam a dextera adjutor venit pauperis,
Ut animam meam hostibus liberet viris.

PSALMUS CIX.

*Davidis sonorum carmen nonum supra centesimum.*
Sede, Deo Deus dixit, mearum ad dexteram sedium,
Donec sub scabellum inimicos tuos pedibus domuero.
Æternus de Sione inculpatam virgam mittat,
Ut tuis in medio, Rex, hostibus imperes.
Tui principii tecum est robur ut antea habebas,
Tuis cum splendoribus sanctorum decus firmum habebis:
Ventris fructus mei ante luciferum ipse es.
Juravit fidelis Rex, sua vero non mentietur juramenta:
Eris sacerdos qualis erat Melchisedecus.
Dexteræ, o Intacte, habebis prope defensorem,
Qui in ira reges terrenos domet.
Nationes Beatus judicabit, implebit vero ruinas populorum,
Et multorum in terra conquassabit capita.
Aquam torrentis bibet, inclytam viam iens,
Inde Rex venerandum exaltabit caput.

PSALMUS CX.

*Immortale alleluia decimum vero supra centesimum.*
Indesinenti corde, Rex, tuam laudem canam,
Mente rectorum sanctorumque in tentoriis illustribus.
Immortalis Regis semper eximia opera
Consiliis omnigenis grata divinis.
Laus semper Dei opera sunt et præstans gloria:
De generatione in generationem justitia ejus manet.
Mirabilium suorum Rex recordatus est animo,
Misericors in omnibus Deus est et clemens
Convivium charis famulis gloriosum dedit.

A Ἡμέτερος μελέεσσιν ὀρίνεται ἔνδοθι θυμός·
Κλινομένῃ σκιῇ ἶσα νόῳ ἀλύεσκον ὀρινθείς·
Ἀκρίσιν αἰθερίῃσι πανείκελος ἐξετινάχθην·
Ἐδμήθην φίλα γυῖα τρέμων ὑπ' ἀνάλκιδι λιμῷ,
Καὶ δέμας αἰγλήεντος ἀμείβετο νόσφιν ἐλαίου.
Ἔνθεν ἅλις μετὰ πᾶσιν ἐγὼ μωμητὸς ἐτύχθην·
Ὥς μ' ἴδον, ὥς κεφαλὴν δόνεον δολόεσσαν ἕκαστος.
Ἀλλά, Μάκαρ, καλέοντι Θεὸς ἐπιτάῤῥοθος ἔλθοις,
Καί μοι σὴν ἐλεητὺν, Ἄναξ, ἐπίκουρον ὀπάσσοις·
Ὄφρα τεῆς παλάμης ἀγαθὴν γνώωσιν ἀρωγὴν,
Ἣν τεῷ ὁρμαίνεσκες, Ἄναξ, θεράποντι τελέσσαι
Κεῖνοι ἐπαρήσονται, ἀτὰρ σύ μοι ὄλβια δοίης.
B Αἶσχος ἐπεγρομένοισιν ἐμοῖς δηίοισι γενέσθω·
Σεῖο δὲ τιμήεις θεράπων φρεσὶ πάντοθε χαίροι.
Οἵ με κακηγορέοντες ἀεὶ δυσαίατο μῶμον,
Δίπλακι δὲ χλαίνῃ ἴκελον ψύθος ἀμφιβαλέσθων
Αείσω μελέεσσιν ἀνὰ στόμα Παμβασιλῆα,
Καὶ πολέων ἀνὰ μέσσον ἑὸν κλέος ὑμνοπολεύσω·
Οὕνεκα δεξιτερῆς ἐπιτάῤῥοθος ἦλθε πενιχροῦ,
Ὄφρα κε θυμὸν ἐμὸν δηίων ἀπολύσειεν ἀνδρῶν.

ΨΑΛΜΟΣ ΡΘ'.

Δαυΐδου λιγυρὸν μέλος εἴνατον ἀμφ' ἑκατοστῷ.
Ἧσο, Θεῷ Θεὸς εἶπεν, ἐμῶν ἐς δεξιὰ θώκων,
Ὥς κεν ὑπὸ θρῆνυν δηίους σέο ποσσὶ δαμάσσω.
C Ἄφθιτος ἐκ Σιῶνος ἀμύμονα ῥάβδον ἰάλλοι,
Ὄφρα τεοῖς ἀνὰ μέσσον, Ἄναξ, δηίοισιν ἀνάσσῃς.
Σῆς ἀρχῆς μετὰ σεῖο πέλει κράτος ὡς πάρος εἶχες,
Σῇσι μετ' ἀγλαΐῃς ὁσίων κλέος ἔμπεδον ἕξεις.
Γαστρὸς καρπὸς ἐμῆς πρὸ ἑωσφόρου αὐτὸς ἐτύχθης.
Ὤμοσε πιστὸς Ἄναξ, σφετέρους δ' οὐ ψεύσεται ὅρκους·
Ἔσσεαι ἀρητὴρ οἷος πέλε Μελχισεδῆκος.
Δεξιτερῆς, Ἄχραντε, ἔχεις πέλας ἀσπιδιώτην,
Ὅς ῥα κότῳ βασιλῆας ἐπιχθονίους δαμάσαιτο.
Φῦλα Μάκαρ δικάσει, πλήσει δ' ἀναρήγματα δήμων,
Καὶ πολέων κατὰ γαῖαν ἀποῤῥαίσειε κάρηνα.
Ὕδωρ χειμάῤῥου πίεται κλυτὸν οἶμον ὁδεύων,
D Ἔνθεν Ἄναξ τιμῆεν ἀνυψώσειε κάρηνον.

ΨΑΛΜΟΣ ΙΡ'.

Ἄφθιτον ἀλληλούϊα δεκὰς δ' ἔφυ ἀμφ' ἑκατοστῷ.
Ἀλλήκτῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω,
Ἰθυνόων ὁσίων τε παρὰ κλισίῃσι φαειναῖς.
Ἀθανάτου Βασιλῆος ἀεὶ περιώσια ἔργα,
Βουλῆς παντοδαπῇσι μεμηλότα θεσπεσίῃσιν
Αἶνος ἀεὶ Θεοῦ ἔργα πέλει καὶ ἀριπρεπὲς εὖχος·
Ἐκ γενεῆς γενεήνδε δικαιοσύνη ἑὸ μίμνει.
Θαυμασίων σφετέρων Βασιλεὺς ἐμνήσατο θυμῷ.
Οἰκτίρμων μετὰ πᾶσι Θεὸς πέλει ἠδ' ἐλεήμων·
Δαῖτα φίλοις δμώεσσιν ἀγακλήεσσαν ἔδωκε.

Νωλεμέως σφετέρων μεμνήσεται ἁρμονιάων.
Ἔργων ἠνορέην ἀγαθὴν διαπέφραδε λαῷ,
Κλῆρον ἀρίζηλον μεμαὼς δόμεναί σφισι δήμων,
Εὐδικίην καὶ ἀληθείην ἐργάζεται αἰεί.
Ἐννεσίαι Βασιλῆος ἀγακλέα πίστιν ἔχουσιν.
Ἐκ γενεῆς γενεήνδε διαμπερὲς ἐστήριχθεν,
Τυκταὶ ἀληθείῃ τε καὶ ἰθείῃσι μενοιναῖς.
Λύτρον Ἄναξ νημερτὲς ἑῷ δωρήσατο λαῷ.
Πάντοτε συνθεσίην σφεέρην ἐνετείλατο Ποιμήν.
Ἄχραντον φοβερόν τε Θεοῦ κλυτὸν οὔνομ' ἐτύχθη.
Ἀρχὴ ἐπουρανίου σοφίης πέλε δεῖμα Θεοῖο.
Καὶ πινυτὴ μερόπεσσι πέλει σοφίης ὑποφήταις.
Ἐκ γενεῆς γενεήνδε μένει Θεοῦ ἄφθιτος αἶνος.

ΨΑΛΜΟΣ ΡΙΑ'.

Πρῶτον ἐφ' ἐνδεκάτῃ δεκάδι μέλος ἀλληλούϊα.
Ὄλβιος ὃς πραπίδεσσι περιτρομέει Βασιλῆα,
Ἀθανάτου γεραρῇσιν ὑπ' ἐννεσίῃσι μεμηλώς.
Ἀλκῆεν κατὰ γαῖαν ἑὸν μένει αἷμα γενέθλης,
Ὄλβῳ ἰθυνόοισιν ὁμοῦ γενεῇσι τεθηλός.
Οὐχ οἱ ἀπολλήξειε δόμων ἄφενός τε καὶ εὖχος,
Ἀλλὰ καὶ εὐδικίῃσι διηνεκέεσσι χαρείη.
Ἐξ ὄρφνης ἀνέτειλεν ἐπ' ἰθυνόοις μέγα φέγγος,
Οἰκτίρμων ὅσιός τε Θεὸς πέλει ἠδ' ἐλεήμων.
Μείλιχος ὅς ῥ' ἔχρησεν ἀνὴρ ἑτέρους ἐλεαίρων,
Ἑσμὸν ἐπιθύνων σφετέρων ἀγανόφρονα μύθων·
Οὔποτέ μιν μογεροῖο κλόνος βιότοιο κιχείη.

Νωλεμέως ὁσίου μνημήιον αἰνετὸν ἔσται
Οὔποθ' ὑποδδείσειεν ἀθέσμιον οὔασι φήμην.
Αἰὲν ἔχει Βασιλῆος ἐπ' ἐλπίδι θυμὸν ἑτοῖμον·
Ἠνεκέως ἀδόνητον ἑὴν στήριξε μενοινήν,
Εἰσόκε δυσμενέων θήσεται οἰκτὸν ὀπωπήν.
Ἀκτεάνοις ἐκέδασσε χαριζόμενος βιότοιο.
Ἐκ γενεῆς γενεήνδε δικαιοσύνη ἕο μίμνει·
Τιμῇ καὶ γεράεσσιν ἀειρόμενον κέρας ἕξει.
Δερκόμενον τάδε μῆνις ἀτάσθαλον ἄνδρα χαλέψει.
Τηκεδόνι τρύζοντα κακῇ φθονεροῖσιν ὀδοῦσιν·
Ἵμερος αὖτ' ἀτέλεστος ἀτασθάλου ἀνδρὸς ὀλεῖται.

ΨΑΛΜΟΣ ΡΙΒ'.

Ἑνδεκάτης δεκάδος μετὰ δεύτερον ἀλληλούϊα.
Ἀθάνατον Βασιλῆα σοφοὶ ἀναμέλψατε παῖδες,
Οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος.
Ἔσσεται οὔνομα θεῖον ἀεὶ μεμελημένον ὕμνοις,
Καὶ νῦν, καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
Ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δυσμάς,
Οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος.
Δήμων παντοδαπῶν Βασιλεὺς καθυπέρτερα ναίει,
Καὶ κλέος οὐρανίων δαπέδων ὕπερ ἄφθιτον ἴσχει.
Τίς κρατερῷ Βασιλῆι πανείκελος ἄλλος ἐτύχθη;
Ναιετάων ὑψηλά, ἀτὰρ χθαμαλώτατα λεύσσων,
Γαῖάν τ' ὀφθαλμοῖσι καὶ οὐρανὸν ἀμφιπολεύων,
Ἀκτέανον δεδάηκεν ἀπὸ χθονὸς οἶος ἐγείρειν,
Ἐκ κόπρου δὲ πενιχρὸν ἐπισταμένως ἀναείρει·
Ὄφρα καθηγητῆρσιν ὁμὴν μετελεύσεται ἕδρην,
Λαοῦ θεσπεσίοιο συνέμπορος ἡγεμονήων.
Στείρῃ ναιετάειν ὃς δώματα δῶκεν ἀγητά,
Μητέρα τιμήεσσαν ἀγαλλομένην ἐπὶ τέκνοις.

A Perpetuo suarum recordabitur compositionum :
Operum virtutem strenuam annuntiavit populo,
Sortem præclaram cupiens dare sibi populorum :
Æquitatem et veritatem operatur semper.
Mandata Regis gloriosam fidem habent,
De sæculo in sæculum prorsum confirmata sunt,
Facta veritateque et rectis consiliis.
Redemptionem Rex veram suo largitus est populo.
Semper pactum suum mandavit Pastor.
Purum terribileque Dei inclytum nomen est :
Principium cœlestis sapientiæ est timor Dei.
Et prudentia mortalibus est sapientiæ vatibus.
De sæculo in sæculum manet Dei immortalis laus.

PSALMUS CXI.

*Primum supra undecimam decadem carmen alleluia.*

B Beatus qui animis timet Regem,
Immortalis honorata in mandata incumbens
Fortis in terra suus manet sanguis generationis,
Beatitudine rectis simul generationibus florens.
Non ipsi desinant domorum divitiæque et gloria,
Sed et æquitatibus perpetuis gaudeat·
De caligine ortum est in rectis magnum lumen.
Misericors sanctusque Deus est et clemens.
Blandus qui mutuavit vir alios miserans,
Multitudinem dirigens suorum placidam verborum:
Nunquam eum laboriosæ turbatio vitæ compre-(hendet.
Perpetuo sancti memoria laudabilis erit :
Nunquam reformidet iniquum auribus rumorem.
Semper habet in spe animum paratum :
C Semper inconcussum suum firmavit consilium,
Donec inimicorum despiciat miserandum vultum.
Egenis dispersit largiens victum.
De sæculo in sæculum justitia ejus manet :
Honore et dignitatibus exaltatum cornu habebit.
Videntem hæc ira peccatorem virum opprimet,
Tabe stridentem mala invidis dentibus :
Desiderium rursus mutilum impii viri peribit

PSALMUS CXII.

*Undecimæ decadis post secundum alleluia.*

Immortalem Regem sapientes celebrate pueri.
Nomen honorabile resonate Domini.
Erit nomen divinum semper gratum hymnis,
Et nunc, et postea sempiternis generationibus.
Solis lucidi ab ortu ad occasus,
Nomen honorabile resonate Domini.
D Populis omnigenis Rex superiora habitat,
Et decus cœlestia palatia supra immortale habet.
Quis valido Regi persimilis alius est?
Habitans excelsa, at humillima intuens,
Terramque oculis et cœlum lustrans,
Inopem novit a terra solus erigere,
De stercore autem pauperem prudenter exaltat :
Ut ducibus similem ingrediatur sedem,
Populi divini comes principum.
Sterili habitare qui domos dedit admirabiles,
Matrem honorabilem exsultantem super filios.

## PSALMUS CXIII.

*Cum uudecima decade etiam tertium alleluia.*

Fortis Israel quando venit ex tenebris,
Domum vero barbaram Jacobi reliquit populus,
Templum Judææ honoratum factum est Dei,
Immortalis vero imperabat glorioso Israeli.
Fugit quidem sterile ipsum ut sensit mare,
Ast Jordanis recessit multum retrorsum.
Montes vero arietibus exsultaverunt similes,
Et vertices hispidorum montium erant agnis similes.

Dicito quare, mare, divisum sis sic fugiens,
Quare, Jordanis, recessisti tantum retrorsum:
Montes vero, arietibus exsultastis similes,
Et vertices hispidorum montium, estis agnis similes?

Immortalis contremuit Dei in conspectu terra,
Qui Jacobo magnanimo semper imperat.
Qui lacus aquarum similem convertit petram,
Rupem fontibus ebullire præcipiens.
Non nobis ista facito: quod enim robur nobis est?
Sed tuæ sapientiæ summam gloriam præbeas,
Tuæque misericordiæ, Rex, et veræ voluntati:
Nequando gentes dicant: Ubi igitur Deus est illorum?

Noster Deus rursum in cœlo semper imperat:
Cœlo innixa sunt, at terræ opera gubernat,
Patrans quæcunque animo sagaci cogitat
Idola aurumque et argentum sunt populorum,
Humanarum infirma solertium simulacra manuum·
Quibus non sonus inest, etiamsi os ipsis est:
Neque lumen ferunt in expolitis aspectibus:
Aures solum habent, et non audiunt vocem:
Neque sacer nares subit aeris odor:
Non robur palpanti, etiamsi manibus ornentur:
Non pedibus alma in terra vestigium firmare:
Neque de gutture vocem emittere:
Neque enim anhelant in ore flatus impetu.
Artifices idolis fiant suis similes,
Et omnes his animo fidentes sunt.
Fiduciam in Rege posuit gloriosus Israel,
Eorum adjutor est et perpetuus defensor.
Fiduciam in Rege posuit inclyta domus Aaronis,
Horum adjutor est et intrepidus defensor.
Spem posuerunt in Rege, curæ vero est quibus timor Dei,
Horum adjutor est et fortis defensor.
Nostri Immortalis memor laudavit omnes.
Laudavit splendidam domum mansueti Israelis:
Laudavit sacerdotis immaculatam domum Aaronis,
Laudavit populum universum gratum omnium Regi,

Ætatem universam simul cum majore minorem.
Nostris cum filiis auxit valde omnes.
Laudabiles immortalis estis mente omnium Regis,
Qui terram viridemque et cœlum latum fecit.
Cœlum splendidi cœlestis est Regis:

A

## ΨΑΛΜΟΣ ΡΙΓ'.

Ἐνδεκάτης δεκάδος σὺν καὶ τρίτον ἀλληλούια.

Ἄλκιμος Ἰσραῆλος ὅτ' ἤλυθεν ἠερίηθεν,
Δῶμα δὲ βαρβαρόφωνον Ἰακώβου λίπε λαος,
Νηὸς Ἰουδαίη γεραρὸς γεγένητο Θεοῖο,
Ἀθάνατος δ' ἤνασσεν ἀγακλέος Ἰσραήλου.
Φεῦγε μὲν ἀτρύγετός μιν ὅπως ἐνόησε θάλασσα,
Αὐτὰρ Ἰορδάνης ἀνεχάζετο πολλὸν ὀπίσσω.
Οὔρεα δὲ κριοῖσιν ἀνεσκίρτησαν ὁμοῖα,
Καὶ κορυφαὶ λασίων ὀρέων πέλον ἀρνάσιν ἶσαι.

Ἔννεπε τίπτε, θάλασσα, διέτμαγες ὧδε φογοῦσα;
Τίπτε δ', Ἰορδάνη, ἀνεχάζεο τόσσον ὀπίσσω,
Οὔρεα δὲ, κριοῖσιν ἀνεσκιρτήσαθ' ὁμοῖα,
Καὶ κορυφαὶ λασίων ὀρέων, πέλετ' ἀρνάσιν ἶσαι;

B Ἀθανάτου δεδόνητο Θεοῦ κατεναντίον αἶα,
Ὅστις Ἰακώβου μεγαλήτορος αἰὲν ἀνάσσει.
Ὃς λίμνας (13) ὑδάτων ἰκέλην ἐπετρέψατο πέτρην,
Ἀκρότομον πηγῇσιν ἀναβλύζειν ἐπιτείλας.
Μὴ ἡμῖν τάδε ῥέζε· τί γὰρ σθένος ἄμμιν ἐτύχθη;
Ἀλλὰ τεῇ σοφίῃ πανυπέρτατον εὖχος ὀπάζοις,
Σῇ τ' ἐλεημοσύνῃ, Βασιλεῦ, καὶ ἀληθέϊ βουλῇ.
Μήποτε φῦλ' ἐρέῃ· Πῆ δὴ Θεὸς ἔπλετο κείνων;

Νωίτερος Θεὸς αὖτε κατ' οὐρανὸν αἰὲν ἀνάσσει·
Οὐρανῷ ἠρήρεισται, ἀτὰρ χθονὸς ἔργα νομεύει,
Τεύχων ὁππόσα θυμῷ ἀριστοπόνῳ μενεαίνει.
Εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,
Ἀνδρομέων ἀλαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν.
Οἷς οὐ φθόγγος ἔπεστι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη·
C Οὐδὲ φάος φορέουσι περὶ ξεστῇσιν ὀπωπαῖς.
Οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀίουσιν αὐτῆς
Οὐδ' ἱερὴ ῥίνεσσιν ὑπέρχεται ἠέρος ὀδμή.
Οὐ σθένος ἀμφαφόωντι, καὶ εἰ χείρεσσι κέκασθεν·
Οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι,
Οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσσασθαι·
Οὐδε γὰρ ἀσθμαίνουσι κατὰ στόμα πνεύματος ὁρμῇ.
Τέκτονες εἰδώλοισι γενοίατο οἷσιν ὁμοῖοι,
Καὶ πάντες τοίοισι νόῳ πεποιθαρσέες εἰσίν.
Ἐλπωρὴν ἐπ' Ἄνακτα θέτο κλυδὸς Ἰσραῆλος·
Τῶν δ' ἐπιτάῤῥοθός ἐστι καὶ ἄφθιτος ἀσπιδιώτης.
Ἐλπωρὴν ἐπ' Ἄνακτα θέτο κλυτὸς οἶκος Ἀρῶνος.
Τῶν δ' ἐπιτάῤῥοθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.
Ἐλπίδ' ἔθεντ' ἐπ' Ἄνακτα, μέλει δ' οἷς δεῖμα Θεοῖο·

D Τῶν δ' ἐπιτάῤῥοθός ἐστι καὶ ἄλκιμος ἀσπιδιώτης.
Ἡμέων Ἀθάνατος μεμνημένος, ᾔνεσε πάντας.
Ἤνεσεν ἀγλαὸν οἶκον ἐνηέος Ἰσραήλου·
Ἤνεσεν ἀρητῆρος ἀκήρατον οἶκον Ἀρῶνος
Ἤνεσε λαὸν ἅπαντα μεμηλότα Παμβασιλῆϊ,

Ἡλικίην σύμπασαν ὁμοῦ περὶ μείζονι τυτθήν.
Ἡμετέροις μετὰ παισὶν ἀέξησεν μάλα πάντας.
Αἰνετοὶ ἀθανάτου πέλετε φρενὶ Παμβασιλῆος,
Ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.
Οὐρανὸς αἰγλήεντος ἐπουρανίου 'στὶ Ἄνακτος·

(13) Λίμνας. Forte, λίμναις. EDIT.

Αὐτὰρ γαῖαν ἔδωκεν ἔχειν μεροπηΐδι φύτλῃ.
Οὔ σε, Μάκαρ, νεκύων φθιμένων μέλψουσι γενέθλαι,

Οὐδ' ἐπὶ νερτερίους θανάτου στεοχόντες ἀγυιάς·
Ἡμεῖς οἱ ζώοντες ἀνυμνήσωμεν Ἄνακτα,
Νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

ΨΑΛΜΟΣ ΡΙΔ'.

Ἑνδεκάτης δεκάδος μετὰ τέτρατον ἀλληλούϊα.
Ἱκεσίης ἀΐοντος ἐμῆς ἀγάπησα Θεοῖο,
Οὕνεκά μοι θείην ἀγαθήν τ' ἔκλινεν ἀκουήν,
Καί ἑ διηνεκέως ἐπιτάῤῥοθον ἐσθλὸν ἀείσω.
Ὠδῖνες θανάτοιο λαθιφθόγγου με κατέσχον,
Μερτερίου δ' ἀΐδαο μετέστιχον ἄμμε κυδοιμοί.
Ῥιγεδανὴν ὀδύνην καὶ ἀτειρέα μόχθον ἐφεῦρον·
Ἀθανάτου δ' ἐκάλεσσα πολύλλιτον οὔνομ' Ἄνακτος·
Ἄρθιτε, θυμὸν ἐμὸν πεφοβημένον αἶψα σαώσεις.
Ἡμέτερος Βασιλεὺς ὅσιος πέλει ἠδ' ἐλεήμων,
Ἀνδρομέῃ γενεῇ σφετέρην ἐλεητὺν ἀέξων·
Αἰεὶ νηπιάχοντα Θεὸς δεδάηκε φυλάσσειν.
Καί με καταδηθέντα σάω ζωαρκέϊ χειρί.
Θυμέ, τί δηθύνεις μετὰ σὴν ἀνάπαυσιν ἱκέσθαι;
Οὐχ ὁράᾳς, Θεὸς ὥς σε δυσαλθέος ἥρπασεν ἄτης;
Καὶ γὰρ ἐμὸν θανάτοιο βαρύφρονα ῥύσατο θυμὸν,

Ὀφθαλμοὺς δὲ γόοιο, πόδας ἐξεῖλεν ὀλίσθου.
Ζωόντων ἀνὰ χῶρον ἀδὼν Βασιλῆϊ φανείην·

ΨΑΛΜΟΣ ΡΙΕ'.

Πέμπτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούϊα.
Ἀτρεκέως ἐλάλησα Θεῷ βασιλῆϊ πιθήσας.
Αὐτὰρ ἐγὼ θνητῶν γενόμην χθαμαλώτατος ἄλλων.
Θαμβήσας μερόπων ψευδηγόρον εἶπα γενέθλην·
Τί χρέος ἐκ πολέων ὧν μοι πόρε Ποιμένι δοίην;

Πώματος ἀχράντοιο δέπας χείρεσσι κομίσσω,
Οὔνομα δ' Ἀθανάτοιο διηνεκέως λιτανεύσω.
Πότμος ἑῶν ὁσίων γεραρὸς κατέναντα Θεοῖο.
Κέκλυθι, Παμβασιλεῦ, θεράπων δέ τοι εὔχομαι εἶναι.
Εἰμὶ τεὸς θεράπων, καὶ σῆς γόνος ἀμφιπόλοιο.
Νωιτέρας ἔῤῥηξας ἀλυκτοπέδας ἀλεγεινάς.
Ἀθανάτου ῥέξαιμι θύος μολπῇσι μεμηλός.
Εὐχωλὰς Βασιλῆϊ ὀφειλομένας ἀποτίσω,
Αὐλῆς εὐαγέεσσι φίλον κατὰ δῶμα Θεοῖο,
Παντὸς δερκομένοιο θεουδέος ἀντία λαοῦ,
Σεῖο, πολυκλήεσσ' Ἱερουσαλή, κατὰ μέσσον.

ΨΑΛΜΟΣ ΡΙϚ'.

Ἕκτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούϊα.
Πάνθ' ἅμα Παμβασιλῆα πολύθροα μέλψατε φῦλα,
Καί μιν ὁμοῦ σύμπαντες ἄδην κελαδήσατε λαοί·
Οὕνεκεν ἄμμιν Ἄναξ ἐλεήμονα μῆτιν ὀφέλλει,
Καί οἱ ἀληθείη παναγήραος αἰὲν ἐτύχθη.

ΨΑΛΜΟΣ ΡΙΖ'.

Ἑνδεκάτης δεκάδος ἀμφ' ἕβδομον ἀλληλούϊα.
Μέλψατέ μοι Βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Βαζέτω Ἰσραῆλος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Βαζέτω οἶκος Ἀρῶνος, ἐπεὶ τόδε καλὸν ἐτύχθη.
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.

A At terram dedit habere mortali generi.
Non te, Beate, cadaverum mortuorum laudabunt (genera,
Neque ad infernas mortis properantes vias:
Nos viventes celebremus Regem,
Nunc simul et postea perpetuis sæculis.

PSALMUS CXIV.

*Undecimæ decadis post quartum alleluia.*
Precationem exaudiente meam dilexi Deo,
Quia mihi divinam bonamque inclinavit aurem,
Et ipsum perpetuo adjutorem strenuum canam.
Dolores mortis vocem auferentis me occupaverunt,
Inferioris vero orci invaserunt nos tumultus.
Rigidum dolorem et durum laborem reperi:
Immortalis vero invocavi venerandum nomen Regis,
B Incorrupte, animum meum perculsum cito servabis.
Noster Rex sanctus est et misericors,
Humano generi suam misericordiam augens:
Semper parvulos Deus novit custodire.
Et me humilitatum servavit vivifica manu.
Anime, quid moraris ad tuam requiem venire?
Nonne vides, Deus quia te insanabili eripuit dolore?
Etenim meum morte graviter affectum liberavi (animum,
Oculos vero gemitu, pedes exemit lapsu.
Viventium in regione gratus Regi appaream.

PSALMUS CXV.

*Quintum supra undecimam decadem carmen alleluia.*
Vere locutus sum Deo regi confidens:
At ego mortalium factus sum humillimus aliorum.
C Stupens mortalium mendax dixi genus
Quod debitum e multis quæ mihi concessit, Pastori (reddam?
Potus puri poculum manibus accipiam,
Nomen vero Immortalis jugiter rogabo.
Mors suorum sanctorum honorata in conspectu Dei.
Audi, Domine, servus vero tibi glorior esse:
Sum tuus famulus, et tuæ genitura ancillæ.
Nostras fregisti compedes molestas.
Immortalis faciam sacrificium cantibus indulgens.
Voto Regi debita persolvam
Atriis sanctis chara in domo Dei,
Omni viso religioso coram populo,
Tui, gloriosa Hierusalem, in medio.

PSALMUS CXVI.

D *Sextum supra undecimam decadem carmen alleluia.*
Omnes simul Dominum multisonæ celebrate gentes,
Et eum pariter omnes abunde resonate populi:
Quia nobis Rex misericors consilium auget,
Et ipsi veritas immortalis semper est.

PSALMUS CXVII.

*Undecimam decadem supra septimum alleluia.*
Celebrate mihi Regem, quoniam hoc pulchrum est
Quoniam perpetuo suam misericordiam auget
Dicat Israel, quoniam hoc pulchrum est,
Quoniam perpetuo suam misericordiam auget.
Dicat domus Aaronis, quoniam hoc pulchrum est,
Quoniam perpetuo suam misericordiam auget.

Famuli dicite Regis, quoniam hoc pulchrum est
Quoniam perpetuo suam misericordiam auget.
Oppressus vocabam præpotentem Regem,
Educens vero de afflictione meas dilatavit vias.
Semper Rex incorruptus meæ opitulator necessita-
(tis :
Nunquam reformidem quid mortalis nobis faciat.
Semper meæ incorruptus Rex adjutor necessitatis:
At ego hostium suorum malam videbo perniciem.
Melius immortali confidentem Regi vivere,
Quam frustra mortali viro animum fidentem habere,
Quam principibus inusitatam spem ponere.
Circum me versarunt in circuitu gentes omnes,
At ego universos cepi Regi confidens.
Circum me turris in morem stantes habebant cir-
(culari circulo :
At ego universos cepi Regi confidens.
Undique velut me alveare circumdederunt apes,
Exarserunt velut ignis in atriensibus spinis:
At ego universos cepi Regi confisus.
Etiam cecidit pulsus, defensor vero mihi venit Rex.

Laus mea et robur in immortali Rege,
Et mihi salutare conciliavit lumen paratum.
Lætitiæ luminisque vox tabernaculis justorum.
Dextera Regis inclytam fecit virtutem.
Dextera caput nobile posuit meum :
Dextera Regis inclytam fecit potentiam.
Nunquam moriar, vitæ vero mihi erit opportunitas:
Verum sedulo regia opera clamabo.
Immortalis domuit me amicis castigationibus Pas-
(tor :
Sed nondum morti me malæ dimisit domari.
Agite mihi justitiæ nunc aperite fideles portas,
Ingressus vero Regi venerandum hymnum canam :
Hæc porta Regis, via vero bonis curæ sit.
Immortalis, glorifico te, meam quia audisti vocem,
Et mihi salutare ostendisti lumen paratum.
Fabri quem objurgarunt reprehenderuntque lapi-
(dem,
Ipse sacrum geminorum caput apparuit parietum.
Hoc Deus manibus ædificavit honorabile,
Mirabile vero est humanis coram oculis.
Diem hunc Deus suis fecit manibus,
Lætitia mortalibus ut et gaudium appareat.
Exaudiens, Rex summe, celeriter serves,
Exaudiens dirige meam suavem viam :
Laudabilis qui Regis veniet nomen exaltans.
Vos laudamus, Beati domo venientes.
Inclytus Rex bonusque Deus mortalibus apparuit.
Coronis læti viridem congregate solemnitatem,
Usque ad divina cornua altaris sacrificii.
Noster Deus es, ego vero tibi laudem canam :
Noster Deus es, ego vero te sublimen extollo.
Incorrupte, glorifico te meam quia audisti vocem,
Et mihi salutare exhibuisti lumen paratum.
Celebrate mihi Regem, quoniam hoc pulchrum est,
Quoniam perpetuo suam misericordiam auget.

## PSALMUS CXVIII.

*Undecimæ decadis supra octavum alleluia.*

1. Felices quibus curæ est immaculata semper via,
Quorum mens desiderat Dei in lege ambulare.

A Δμῶες βάζετ' Ἄνακτος, ἐπεὶ τόδε καλὸν ἐτύχθη·
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·
Τειρόμενος καλέεσκον ἐρισθενέτην Βασιλῆα·
Ἐκ δ' ἀγαγὼν κακότητος ἐμὰς εὔρυνε κελεύθους·
Αἰὲν Ἄναξ ἄχραντος ἐμῆς ἐπίκουρος ἀνάγκης·

Οὔποθ' ὑποδδείσαιμι, τί κεν βροτὸς ἄμμι τελέσσει.
Αἰὲν ἐμῆς ἄχραντος Ἄναξ ἐπίκουρος ἀνάγκης·
Αὐτὰρ ἐγὼ δηίων σφετέρων κακὸν ὄψομαι οἶτον.
Φέρτερον ἀθανάτῳ πίσυνον Βασιλῆι βιῶναι,
Ἠὲ μάτην βροτῷ ἀνδρὶ νόον περιθάρσυνον ἴσχειν,
Ἠὲ καθηγητῆρσιν ἀμήχανον ἐλπίδα θέσθαι.
Ἀμφί με κυκλώσαντο περισταδὸν ἔθνεα πάντα·
Αὐτὰρ ἐγὼ σύμπαντας ἕλον Βασιλῆι πεποιθώς.
Ἀμφὶ μὲ πυργωθέντες ἔχον περιηγέϊ κύκλῳ·

B
Αὐτὰρ ἐγὼ σύμπαντας ἕλον Βασιλῆι πεποιθώς.
Πάντοθεν οἷά με σίμβλον ἐκυκλώσαντο μέλισσαι·
Ἔφλεχθεν ἅτε πυρσὸς ἐν αὐλαίῃσιν ἀκάνθαις·
Αὐτὰρ ἐγὼ σύμπαντας ἕλον Βασιλῆι πεποιθώς.
Καί κε πέσ' ὠθηθεὶς, πρόμαχος δέ μοι ἤλυθεν Ἐσ-
[σήν.
Αἶνος ἐμὸς καὶ κάρτος ἐπ' ἀθανάτῳ Βασιλῆι,
Καί μοι ἀλεξίκακον κατεφαίνετο φέγγος ἑτοῖμον.
Τερπωλῆς φάεός τε βοὴ κλισίῃσι δικαίων.
Δεξιτερὴ Βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν.
Δεξιτερὴ κεφαλὴν ἐρικυδέα θῆκεν ἐμεῖο·
Δεξιτερὴ Βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν.
Οὔποτε τεθναίην, βιότου δέ μοι ἔσσεται ὥρη·
Ἀλλὰ περιφραδέως βασιλήια ἔργα βοήσω.
Ἀθάνατος δάμασέν με φίλοις παιδεύμασι Ποιμήν·
C
Ἀλλ' οὔπως θανάτῳ με κακῷ μεθέηκε δαμῆναι.
Δεῦτέ μοι εὐδικίης νῦν οἴξατε πιστὰ θύρετρα·
Εἰς δ' ἐλθὼν Βασιλῆι πολύλλιτον ὕμνον ἀείσω.
Ἥδε πύλη Βασιλῆος, ὁδὸς δ' ἀγαθοῖσι μελέσθω.
Ἄφθιτε, κυδαίνω σε, ἐμῆς ὅτι σύνθεο φωνῆς,
Καί μοι ἀλεξίκακον προὐφαίνεο φέγγος ἑτοῖμον.
Τέκτονες ὃν νείκεσσαν ἐμωμήσαντό τε λᾶαν,

Ὅς δ' ἱερὴ δισσῶν κεφαλὴ προὐφαίνετο τοίχων.
Τήνδε Θεὸς παλάμῃσιν ἐδείματο τιμήεσσαν,
Θηητὴ δὲ πέλει βροτέων κατεναντίον ὄσσων.
Ἦμαρ τοῦτο Θεὸς σφετέρῃς τεκτήνατο χερσὶν,
Εὐφροσύνη μερόπεσσιν ὅπως καὶ χάρμα φανείη
Εἰσαΐων, Βασιλεῦ πανυπέρτατε, ῥίμφα σαώσοις,
D Εἰσαΐων ἴθυνον ἐμὴν καταθύμιον οἶμον·
Αἰνετὸς ὃς Βασιλῆος ἀφίξεται οὔνομ' ἀείρων.
Ὑμέας αἰνέομεν, Μάκαρος μεγάροιο μολόντες.
Κλεινὸς Ἄναξ ἀγαθός τε Θεὸς μερόπεσσι φαάνθη.
Στέμμασι γηθόμενοι χλοερὴν ξυναγείραθ' ἑορτὴν,
Μέχρι θεοδμήτων κεράων βωμοῖο θυηλῆς
Νωΐτερος Θεός ἐσσι, ἐγὼ δέ τοι αἶνον ἀείσω·
Νωΐτερος Θεός ἐσσι, ἐγὼ δέ σε ὕψοσ' ἀείρω.
Ἄφθιτε, κυδαίνω σε, ἐμῆς ὅτι σύνθεο φωνῆς,
Καί μοι ἀλεξίκακον κατεφαίνεο φέγγος ἑτοῖμον.
Μέλψατέ μοι Βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη·
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει

## ΨΑΛΜΟΣ ΡΙΗ'.

Ἐνδεκάτης δεκάδος ἀμφ' ὄγδοον ἀλληλούϊα.

Α'. Ὄλβιοι οἷσι μέμηλεν ἀκήρατος αἰὲν ἀταρπὸς,

Μαρτυρίας σφετέρας φρεσὶν ὄλβιοι ἰχνεύεσκον,
Παντοίῃ κραδίῃ διζήμενοι ἐσθλὸν Ἄνακτα.
Οὐ γὰρ δυσνομίης στυγερῆς ὑποφήτορες ἄνδρες
Ἴχνεσιν Ἀθανάτοιο κατεστείβεσκον ἀταρπούς·
Ἔμπεδον ἐννεσίης φυλακὴν ἐπετείλαο λαῷ.
Εἴθε μοι εὖ μάλα πᾶσαι ἐπιθύνοιντο κέλευθοι,
Ὄφρα τοι εὐδικίῃσιν ἀεὶ μεμλημένος εἴην.
Καί κε νόῳ προφύγοιμι βαρὺν καὶ ἐλεγχέα μῶμον,
Εἴκεν ὑπ' ἐννεσίῃσι θεουδέσιν ὄμματα πήξω.
Ἰθυνόῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω,
Εὖτε δικαιοσύνης θεοτερπέος ἔργα δαείην.
Εὐδικίας πραπίδεσσι τεάς, Ἄχραντε, φυλάξω,
Μή με διηνεκέως προλίποις, ἀγανώτατε Ποιμήν.
Β'. Πῶς νέος ἰθύνειεν ὁδὸν πεποτημένος ἥβῃ,
Εἰ μὴ ἐννεσίας Μάκαρος πραπίδεσσι φυλάξοι;
Παντοίοις, Βασιλεῦ, σε νοήμασιν ἰχνεύεσκον
Μή με τεῶν ἀπάνευθεν ἀπώσεαι ἐννεσιάων.
Σεῖο, Μάκαρ, γλυκεροὺς ἐθέμην ἐν στήθεσι μύθους,
Ὄφρα μὴ οὐλομένοισιν ἀντασθαλίῃσι δαμείην.
Αἰνετός ἐσσι, Μάκαρ, θεσμοὺς δέ με σεῖο διδάσκοις.
Χείλεσιν ἡμετέροις στόματος σέθεν ἔφρασα θεσμούς·
Σεῖο τρίβῳ γήθησα, Μακάρτατε, μαρτυριάων,
Οἷά τις ἐν στέρνοις ἐπαγάλλεται εὐρέϊ πλούτῳ.
Σῇσιν ὑπ' ἐννεσίῃσι (14) περιφραδέως κελαδήσω,
Καί σεο τιμήεσσαν ἀνιχνεύσαιμι κέλευθον.
Σῇσιν ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω,
Οὐδὲ τεῶν ἱερῶν ἐπέων ἐπιλήσομαι αὔτως.

Γ'. Ἀντὶ πόνων θεράποντι, Μάκαρ, σέο μισθὸν [ὀπάζοις·
Ζήσομαι ἀθανάτων ἐπέων φρεσὶ κέρδος ἀέξων.
Ἀχλὺν ἀπ' ὀφθαλμῶν σκέδασον, Μάκαρ, ἤ πρὶν ἐπ- [ῆεν,
Ὄφρα διοπτεύσαιμι τεῶν κλυτὰ θαύματα θεσμῶν.
Ἀλλοδαποῦ βιότοιο μινυνθαδίην χθόνα ναίω·
Μή μευ ἀποκρύψῃς ἀγαθῶν χάριν ἐννεσιάων.
Εὐδικίας ἐπόθησα τεὰς νόῳ ἤματα πάντα.
Οὐρανόθεν θέσπιζες ὑπερφιάλοισιν ὁμοκλήν.
Λωβητοὶ μάλα σεῖο λελασμένοι ἐννεσιάων
Μῶμον, Ἄναξ, ἐλάσεις καὶ ὀνείδεα πολλὸν ἐμεῖο.
Οὕνεκα μαρτυρίας γεραρὰς σέθεν ἰχνεύεσκον.
Ἀμφ' ἐμέθεν κελάδησαν ἐπεσβόλοι ἡγεμονῆες,
Αὐτὰρ ἐγὼ ἀνέμελπον ἐπ' εὐδικίῃσι τεῇσι.
Μαρτυρίαι Βασιλῆος, ἐμεῦ μελεδήματα θυμοῦ·
Θεσμοὶ δ' ἐκγεγάασι τεοὶ βουλεύματ' ἐμεῖο.
Δ'. Θυμὸς ἐμὸς δαπέδοισιν ἐλεγχίστοισι πελάσθη.
Ἔμπα γε μὴν μύθοισι τεοῖς, Ἄχραντε, βιώην.
Νωιτέρας ἐπάκουσας ἀπαγγέλλοντος ἀταρπούς.
Ῥίμφα δικαιοσύνην με, Μακάρτατε, σεῖο διδάσκοις.
Εὐδικίης κλυτὸν οἶμον ἐμῷ παρακάτθεο θυμῷ·
Σοῖς δ' ἐπὶ θαυμασίοισι περιφραδέως κελαδήσω.
Θυμὸς ἐμὸς ἤμυσε, κακῇ βεβολημένος ἄτῃ·
Ἀλλὰ τεοῖς μύθοισιν, Ἄναξ, ἐμὸν ἦτορ ἐρείδοις.

A Testimonia sua animis felices vestigant,
Toto corde exquirentes bonum Regem.
Non enim iniquitatis odiosæ auctores vir,
Vestigiis Immortalis calcaverunt vias.
Firmam mandati custodiam mandasti populo.
Utinam mihi bene valde dirigantur viæ,
Ut æquitatibus semper deditus sim.
Etiam animo effugiam gravem et turpem reprehen- [sionem,
Si in mandatis divinis oculos fixero.
Recto corde, Rex, tuam laudem canam.
Quando justitiæ divinæ opera didicero.
Justitias animis tuas, Incorrupte, custodiam,
Ne me in perpetuum deseras, mitissime Pastor.
2. Quomodo juvenis dirigat viam volans juven- [tute,
B Nisi mandata Beati animis custodiat?
Omnigenis, Rex, te cogitationibus vestigabam,
Ne me tuis procul repellas mandatis.
Tuos, Beate. dulces posui in pectoribus sermones,
Ut ne perniciosis sceleribus domer.
Laudabilis es, Beate, leges vero me tuas doceas.
Labiis nostris oris tui dixi leges,
Tuorum via delectatus sum, Beatissime, testimo- [niorum.
Veluti aliquis in pectoribus exsultat latis divitiis.
Tuis in mandatis sedulo resonabo,
Et tuam honorabilem exquiram viam.
Tuis in justitiis perpetuo meditabor,
Neque tuorum sacrorum verborum obliviscar te- [mere.
C 3. Pro laboribus famulo, Beate, tuo mercedem [tribuas.
Vivam immortalium verborum animis proventum [augens.
Nebulam ab oculis dissipa, Beate, priusquam in- [gruat.
Ut perspiciam tuarum clara miracula legum.
Peregrinæ vitæ fluxam terram incolo,
Ne me subducas bonorum gratia mandatorum
Justitias cupivi tuas animo dies omnes.
De cœlo denuntiabas superbis comminationem.
Vituperabiles valde tuorum obliti mandatorum.
Reprehensionem, Rex, removebis et probra mul- [tum a me,
Quia testimonia honorata tua vestigavi.
D De me murmurarunt contumeliosi principes,
At ego cantabam in justificationibus tuis.
Testimonia Regis, mei meditationes animi,
Leges vero sunt tuæ consilia mea.
4. Anima mea pavimentis probrosis adhæsit:
Verumtamen verbis tuis, Incorrupte, vivam.
Nostras exaudisti annuntiantem vias.
Cito justitiam me, Beatissime, tuam doceas.
Justitiæ claram viam meo committe animo,
Tuis vero in mirabilibus scite resonabo.
Anima mea incubuit malo perculsa nocumento,
Sed tuis verbis, Rex, meum cor confirmes.

(14) Ὑπ' ἐννεσίῃσι. Forte, ἐπ' ἐνν. Edit.

Viam, Rex, iniquam procul a me arceas,
Æquis vero tuis legibus nostri miserearis.
Viam veritatis jucundam semper reperi,
Neque divinarum oblitus sum tuarum æquitatum.
Ne tuis testimoniis fidentem omnino coerceas.
Tui mandati claram cucurri viam,
Quando valde dilatares meis in pectoribus animum.
5. Tuam, Beate, me doce tuarum viam æquitatum,
Et eam perquiram perpetuis sæculis.
Da mihi, Rex, prudentiam, ut tuam legem exquiram:
Et eam semper pectoribus in nostris custodiam.
Si vero mihi dux fueris in æquitatibus tuis
Universam meis præcordiis cupio amplecti.
Testimoniis meum cor incumbat tuis,
Neque insatiabilem eligam avarissimam contumeliam.
Ab oculis remove meis jactabundam perniciem.
Tuis, Beate, vivam vivificis viis:
Tuo famulo eloquium ornatum timore facias.
Quod prius suspicabar a probro nos serves.
Tuis quia blandis æquitatibus temperata sunt,
Animo instigo tuorum desiderium mandatorum:
Tuam justitiam vitæ sociam elegi.
6. Divina me misericordia, Rex, tua circumtegat.
Tua salutaria lumen verba sequatur,
Ut flagitiosos remunerem quatenus fas est,
Quia spem posui in verbis tuis.
Ne a me veritatem oris tui prorsus auferas:
Tuæ enim sanctæ justitiæ desiderium habeo,
Et legem splendidam tuam præcordiis custodiam,
De sæculo in sæculum omnino dies omnes.
Inde utique latis semper præcurrebam viis,
Quia mandatum regium vestigabam,
Neque aliquem reveritus loquebar de tuis testimoniis.
Quo pacto valde mirabantur meam tunc linguam reges?
Quas diligebas abunde meditationibus animum pascebam.
Et ad tua mandata extendebam manus amabilia,
Tuis in justificationibus cupidus animum pascebam.
7. Memor esto tui servi sperantis in tuis verbis.
Hæc meæ infirmitatis consolatio bona est,
Quis semper tuum eloquium mihi vita est bona.
Semper superbi iniqua patrabant:
At mea legibus tuis mens semper congruebat.
Respiravi tuis animum, Rex, legibus explicans.
Cor præ imbecillitate sauciatus perculsus sum,
Legum conspiciens bonarum tuarum corruptores.
Legum celebravi amicarum tuarum sæpe cantum,
Etiam in externis exsistens solis profugus.
Caliginosa in nocte recordatus sum Regis,
Immortalem vero custodivi charis in pectoribus legem.
Tuæ hoc justitiæ bonæ æquandum habeo.

A Οἶμον, Ἄναξ, ἀθέμιστον ἐμεῦ ἀπάνευθεν ἐρύκοις,
Ἐνθέσμοις δὲ τεοῖς θεσπίσμασιν ἄμμ' ἐλεαίροις.
Οἶμον ἀληθείης καταθύμιον αἰὲν ἐφεῦρον,
Οὐδὲ θεοπρεπέων λαθόμην σέθεν εὐδικιάων.
Μή σεο μαρτυρίῃσι πεποιθότα πάμπαν ἐλέγξῃς.
Σῆς ὑποθημοσύνης ἀριδείκετον ἔδραμον οἶμον,
Εὖτε μάλ' εὐρύνειας ἐμοῖς ἐν στήθεσι θυμόν.
Ε'. Σεῖο, Μάκαρ, μὲ δίδασκε τεῶν τρίβον εὐνομιάων,
Καί μιν ἀνιχνεύσαιμι διηνεκέεσσι γενέθλαις.
Δός μοι, Ἄναξ, πινυτὴν, ἵνα σευ νόμον ἐξερεείνω,
Καί μιν ἀεὶ στέρνοισιν ἐφ' ἡμετέροισι φυλάξω.
Εἴ δέ μοι ἡγεμόνευσας ἐπ' εὐνομίῃσι τεῇσι,
Πᾶσαν ἐμῆς πραπίδεσσι λιλαίομαι ἀμφιτ̓αλέσθαι.
B Μαρτυρίῃς ἐμὸν ἦτορ ἐπικλίνοιτο τεῇσι,
Μηδ' ἀκόρητον ἕλοιμι φιλοκτεανώτατον ὕβριν.
Ὀφθαλμῶν ἀπέλασσον ἐμῶν κενεαυχέα λώβην.
Σεῖο, Μάκαρ, ζήσαιμι φερεζώοισι κελεύθοις·
Σῷ θεράποντι λόγον βεβριθότα δείματι τεύξοις.
Οὗ πρὶν ὑποπτεύεσκον ὀνείδεος ἄμμε σαώσοις.
Σεῦ ὅνι μειλιχίῃσι δίκης κεκερασμέναι εἰσὶ,
Θυμῷ ἐπισπέρχω σέθεν ἵμερον ἐννεσιάων·
Σεῖο δικαιοσύνην βιότου συνέριθον ἑλοίμην.
ζ'. Θεσπεσίη μ' ἐλεγτὸς, Ἄναξ, σέθεν ἀμφικαλύπτοι.
Σοῖσιν ἀλεξικάκοισι φάος μύθοισιν ἐπέσθω,
Ὄφρα κεν ὑβριστῆρας ἀμείψομαι ᾗ θέμις ἐστίν·
Οὕνεκεν ἐλπωρὴν ἐθέμην μύθοισι τεοῖσι.
Μή μευ ἀληθείην στόματός σεο πάμπαν ἐρύξῃς·
C Σεῖο γὰρ εὐθέσμοιο δικαιοσύνης πόθον ἴσχω,
Καὶ νόμον αἰγλήεντα τεὸν πραπίδεσσι φυλάξω,
Ἐκ γενεῆς γενεήνδε διαμπερὲς ἤματα πάντα.
Ἔνθεν ἄρ' εὐρείῃσιό ἀεὶ προθέεσκον ἀταρποῖς,
Οὕνεκεν ἐννεσίην βασιλήιον ἰχνεύεσκον
Οὐδέ τιν' ἀζόμενος λάλεόν σεο μαρτυρίῃσι.
Πῶς δὲ μάλα θαύμαζον ἐμὴν τότε γλῶσσαν ἄνακτες;
Οἷς ἀγάπαζες ἄδην μελεδήμασι θυμὸν ἔφερβον,
Καὶ σέθεν ἐννεσίῃς τάνυον παλάμας ἐρατεινῆς,
Σῇσιν ὑπ' εὐνομίῃσι λιλαιόμενος φρένα βόσκον.
Ζ'. Μνώεό σευ θεράποντος ἐπελπομένου σέο μύθοις.
D Ἥδε μευ ἀδρανίης παραμύθιον ἐσθλὸν ἐτύχθη,
Οὕνεκ' ἀεί σεο μῦθος ἐμοὶ βίος ἔπλετο καλός.
Αἰὲν ὑπερφίαλοι ἀθεμίστια τεκταίνοντο
Αὐτὰρ ἐμὸς θεσμοῖσι τεοῖς νόος αἰὲν ἀρήρει.
Ἀμπνύνθην σέο θυμὸν, Ἄναξ, θεσμοῖσι πετάσσας.
Ἦτορ ὑπ' ἀδρανίης βεβολημένος ἐπτοίημαι
Θεσμῶν εἰσορόων σεο λυΑαντῆρας
Θεσμῶν ὑμνοπόλευσα φίλων σέο πολλάκι μολπὴν,
Καί περ ἐν ὀθνείοισιν ἐὼν δαπέδοις μετανάστης.
Ὀρφναίην ἀνὰ νύκτα παρεμνήσθην Βασιλῆος,
Ἀθάνατον δ' ἐφύλαξα φίλοις ἐν στήθεσι θεσμόν
Σεῖο τόδ' εὐδικίης ἀγαθῆς ἀντάξιον ἴσχω.

Η'. Αἶσά μοι αὐτὸς ἔφυς, θεσμοὺς δέ σοι εἶπα φυ- A [λάξαι.
Ἀλήκτῳ κραδίῃ λιτόμην Βασιλῆος ὀπωπῆς,
Ἵλαθί μοι, Βασιλεῦ, ἐπέων δὲ σευ ἄξια ῥέξω.
Καὶ γὰρ ἐπεφρασάμην καταθύμια σεῖο κελεύθοις·
Μαρτυρίης δ' ἔστρεψα τεῆς σέθεν ἀγχόθι πέζας.

Ἔνθεν ἑτοιμότατος γενόμην ἀδόνητος ἐών τις,

Σῇς ὑποθημοσύνῃσιν ἔχειν μεμελημένον ἦτορ.
Ἰλλόμενος δολερῇσι δέμας σειρῇσιν ἀλιτρῶν,
Οὐ σέθεν ἐνθέσμων λαθόμην φρεσὶν ἐννεσιάων.

Αὐτὰρ ἐγὼ διὰ νύκτα μέσην ἔσπευδον ἀναστὰς
Ὑμνῆσαι πραπίδεσσι δικαιοσύνης σέο θεσμούς.
Πάντων σεῖο, Μάκαρ, δμώων γε συνήορος ἦα,
Ὅσσοις ἐννεσίαι πεφυλαγμέναι εἰσὶ Θεοῖο.
Χθὼν ἐλεημοσύνης ἀγαθῆς βέβριθεν Ἄνακτος.
Σεῖο δικαιοσύνας ἐρικυδέας ἄμμε διδάσκοις.

Θ'. Μειλιχίην θεράποντι τεῷ δωρήσαο μύθῳ.
Μειλιχίην σοφίην τε τεὴν, Μάκαρ, ἄμμε διδάσκοις,

Οὕνεκεν ἐννεσίῃσι, Μάκαρ, θάρσησα τεῇσι.
Πρίν με καταδμηθῆναι, ἀτασθαλίην ἐτέλεσσα·
Τοὔνεκα σοὺς ἐφύλαξα φίλοις ἐν στήθεσι μύθους.

Μείλιχός ἐσσι, Μάκαρ, σέο δ' εὐδικίας με διδάσκοις.

Ὕβρις ὑπερφιάλων μοι ἀθέσφατος ἐξετανύσθη·
Αὐτὰρ ἀνιχνεύσαιμι σέθεν μελεδήματα θυμῷ.
Στῆθος ἑὸν λευκῷ ἴκελον ἐπέπηκτο γάλακτι·
Αὐτὰρ ἐμοί σεο θεσμὸς ἀεὶ πραπίδεσσι μεμήλει.
Ὡς ἀγαθὸν χθαμαλόν τε καὶ ἠπεδανόν με τετύχθαι·
Ὄφρα δικαιοσύνην ἐρικυδέα σεῖο δαείην.
Ὡς ἀγαθὸς στόματος βασιληίου ἔπλετο θεσμὸς,
Χιλιάδων χρυσοῦ τε καὶ ἀργύρου ἄμμιν ἀμείνων.
Ι'. Σῇσι, Μάκαρ, γενόμην τε καὶ ἐπλάσθην παλά- [μῃσι·
Δὸς δή μοι πινυτὴν, βουλὰς ἵνα σεῖο δαείην.
Δμῶες δερκόμενοί με τεοὶ κεχαροίατο θυμῷ,
Οὕνεκα σοῖς ἐπέεσσιν ἐμὰς συνέδησα μερίμνας.
Ἀμφαδίην ἐνόησα δικαιοσύνης σέο θεσμοὺς,
Καί σευ ἀληθείῃ χθαμαλὸς καὶ ἄκικυς ἐτύχθην.
Σὴν ἐλεημοσύνην παραμύθιον ἄμμιν ὀπάσσοις,
Καὶ μῦθον συμφράδμονα σῷ θεράποντι παράσχοις.
Εὖ με κατοικτείρειας, ὅπως ζήσαιμι πεποιθὼς,
Οὕνεκά μοι μελέτη βασιλήιος ἔπλετο θεσμός.
Αἶσχος ὑπερφιάλοις, οἵ μοι παρὰ θεσμὸν ἔρεξαν·
Αὐτὰρ ἐγὼ περὶ σῇσιν ἐφημοσύνῃς κελαδήσω.
Δμῶες ἐπιστρέψωσι τεὴν τρομέοντες ἐρωὴν,
Μαρτυρίας δεδαῶτες ἀριστοπόνου Βασιλῆος.
Σῇσιν ἐφημοσύνῃς μευ ἀμώμητοι φρένες εἶεν,
Ὄφρα κακῶν ἀπάνευθε καὶ αἴσχεος ἔκτοθεν εἴην.
ΙΑ'. Θεσπέσιον περὶ φέγγος ἐμὸς νόος ἐξετανύσθη,
Συνθεσίης τ' ἀγαθῆς πόθεόν σεο μῦθον ἀκοῦσαι.
Ἀμφὶ τεῷ μύθῳ ἐμέθεν φθινύθεσκον ὀπωπαὶ,
Βάζουσαι· Πότε δή μοι ἰὼν παραμύθιον εἴης;

Ἀσκὸς ὅπως γενόμην χιονώδεος ἐγγύθι παχνης·

A 8. Portio mihi ipse es, leges vero tibi dixi custo- [dire.
Indefesso corde deprecabar Regis vultum;
Miserere mei, Rex, verbis vero tuis digna faciam.
Etenim cogitavi grata tuis viis,
Ad testimonium vero converti tuum tuos prope [pedes.
Inde paratissimus factus sum immotus exsistens [aliquis,
Tuis mandatis habere deditum cor.
Illaqueatus dolosis corpus catenis nocentium,
Non tuarum justarum oblitus sum animis præce- [ptionum.
At ego in nocte media festinabam surgens
Celebrare animis justitiæ tuæ leges.
B Omnium tuorum, Beate, servorum quidem socius fui,
Quibus mandata custodita sunt Dei.
Terra misericordia bona plena est Regis
Tuas justitias illustres nos doceas.
9. Benignitatem famulo tuo largitus es sermone.
Benignitatem sapientiamque tuam, Beate, nos do- [ceas,
Quia mandatis, Beate, confidi tuis.
Ante me domari, scelus patravi:
Propterea tuos custodivi charis in pectoribus ser- [mones.
Benignus es, Beate, tuas vero justificationes me [doceas.
Contumelia superborum mihi nefanda extensa est,
Cæterum exquiram tuas cogitationes animo.
Pectus suum candido simile coagulatum est lacti,
C At mihi tua lex semper animis curæ erat.
Quam bonum humilemque et infirmum me fieri,
Ut justitiam gloriosam tuam intelligam.
Qnam bona oris regii erat lex,
Chiliadibus aurique et argenti nobis præstantior.
10. Tuis, Beate factusque et formatus sum ma- [nibus:
Da utique mihi prudentiam, consilia ut tua discam.
Servi videntes me tui lætentur animo,
Quia tuis verbis meas connexui curas,
Aperte intellexi justitiæ tuæ leges,
Et tua veritate humilis et impotens factus sum.
Tuam misericordiam solatium nobis præbeas,
Et sermonem unanimem tuo famulo largiaris.
Bene mei miserearis, ut vivam confidens,
D Quia mihi meditatio regia erat lex.
Dedecus superbis, qui mihi præter fas fecerunt,
At ego in tuis mandatis resonabo.
Servi convertantur ad tuum trementes perfugium,
Testimonia scientes industrii Regis
Tuis mandatis meæ inculpatæ mentes sint,
Ut a malis procul et dedecus extra sim.
11. Divino in lumine mea mens extensa est,
Pacti boni cupiens tuum verbum audire.
In tuo sermone mei tabescant vultus,
Dicentes: Quando utique mihi accedens levamen [fueris?
Uter sicut factus sum nivosam prope pruinam:

Sed justitiæ oblitus sum tuæ nunquam animo.
Dicito, tui famuli quantum tempus est vitæ,
Si aliquando mihi luant dignam injuriam peccatores ?
Viri contumeliosi stultitias cantabant,
Sed non tuam secundum legem habebant fallacem viam.
Incorrupta mandata prorsus vera sunt Regis:
Hi vero inique me persequebantur, Rex vero adjutor sis:
Etiam me prorsus admoverunt domantes telluri:
At ego te exspectabam mandatis confisus.
Incorrupte, tua, Rex, misericordia honeste vivam,
Et tui testimonia oris pectoribus custodiam.
12. De sæculo in sæculum tribuis verax consilium.
Cœlo stellato manet tuum semper verbum.
Terra, Beate, manibus manet tuis firmata,
Aurora vero matutina profert tuo lumen jussu:
Tibi enim serviunt quæ fecisti manibus.
Si non mihi tua lex erat cogitatio ærumnæ,
Etiam tunc extabuissem miserabili et inaudita sorte.
Nunquam divinarum obliviscar justificationum,
Inde quoniam vitæ finem gratum reperi.
Sum tuus famulus, tu vero mihi malam perniciem propulses.
Quia mandatis semper confidi tuis.
Frustra exspectarunt scelerati perdere.
At ego intellexi gratia tuorum testimoniorum.
Totis cognovi finem præcordiis vitæ,
Tuum mandatum, Rex, latum agnovi.
13. Quam valde legem ego regiam diligebam,
Etiam eam eligens pectoribus tota die celebrabo.
Mandatum hostibus me tuum plus docuisti:
Etenim mea possessio est, semper vero me fovet.
Cedite mihi, superioris sapientiæ ornatores viri,
Mandata Regis habeo cogitationes animi.
Seniorum prudentia multo majus consilium reperi,
Testimonia ex animo investigans Regis.
Omnigena prohibebam via malefica vestigium,
Ut amicum tuum sermonem meis præcordiis custodiam.
Æquitatem servari tuam stabili consilio,
Tui mandati pertimescens semper jussum.
Tuam in gutture verborum legem suavem reperi,
Gratiorem dulci favo nobis exsistentem.
Omnia valde intellexi tuorum gratia mandatorum,
Inde omnem iniquam odio persequebar viam.
14. Lucerna mea tua lex, Rex, pedibus semper est,
Æternum nostris et immortale vestigiis lumen.
Juravi tuæ, Immaculate, justitiæ responsum servare.
Debilis factus sum, verbis vero tuis vivam.
Linguæ nostræ jucunda etiam tu jubeas,
Et me justitiam gloriosam tuam doceas.
Cor meum in manibus semper tuis habeo,
Neque tuæ legis vivificæ sum oblitus.

A Ἀλλὰ δικαιοσύνης λαθόμην σέθεν οὔποτε θυμῷ.
Εἰπὲ, τεοῦ θεράποντος ὅσος χρόνος ἐστὶ βίοιο·
Εἴ ποτέ μοι τίσειαν ἐπάξιον ὕβριν ἀλεῖται ;

Ἀνέρες ὑβρισταὶ ἀεσιφροσύνας ἀνέμελπον,
Ἀλλ' οὐ σὸν κατὰ θεσμὸν ἔχον ψευδηγόρον οἴμην.

Ἄφθιτοι ἐννεσίαι παναληθέος εἰσὶν Ἄνακτος.
Οἱ δ' ἀδίκως μ' ἐδίωκον, Ἄναξ δ' ἐπιτάῤῥοθος εἴης.

Καί κέ με πανσυδίῃ πέλασαν δαμάσαντες ἀρούρῃ·
Αὐτὰρ ἐγὼ σεο μίμνον ἐφημοσύνῃσι πεποιθώς.
Ἄφθιτε, σῇ, Βασιλεῦ, ἐλεητύϊ καλὰ βιῴην,
Καί σεο μαρτυρίας στόματος στέρνοισι φυλάξω.
ΙΒ'. Ἐκ γενεῆς γενεήνδε νέμεις παναληθέα βουλήν.
B Ουρανῳ αστερόεντι μένει σέο πάντοτε μῦθος.
Γαῖα, Μάκαρ, παλάμῃσι μένει σέο ῥιζωθεῖσα·
Ἠὼς δ' ἠριγένεια φέρει σέο φέγγος ἀνωγῇ·
Σοὶ γὰρ ὑποδρήσσουσι τάπερ τεκτήναο χερσίν.
Εἰ μή μοί σεο θεσμὸς ἔην μελέδημα μερίμνης,
Καί κεν ἀπεφθινόμην κρυερῷ καὶ ἀπευθεῖ πότμῳ.

Οὔποτε θεσπεσίων ἐπιλήσομαι εὐνομιάων,
Ἔνθεν ἐπεὶ βιότοιο τέλος κεχαρισμένον εὗρον.
Εἰμὶ τεὸς θεράπων, σὺ δέ μοι κακὸν οἶτον ἀλάλκοις,

Οὕνεκεν ἐννεσίῃσιν ἀεὶ θάρσησα τεῇσι
Μαψιδίως ὑπέμειναν ἀτασθάλλοντες ὀλέσσαι.
Αὐτὰρ ἐγὼ ξυνέηκα χάριν σέο μαρτυριάων·
Παντοίοις ἐνόησα τέλος πραπίδεσσι βίοιο·
C Σὴν ὑποθημοσύνην, Βασιλεῦ, εὐρεῖαν ἀνέγνων.
ΙΓ'. Ὡς μάλα θεσμὸν ἐγὼ βασιλήιον ἀμφαγάπαζον,
Καί μιν ἑλὼν στέρνοισι πανημαδὸν ὑμνοπολεύσω.
Ἐννεσίην δηίων με τεὴν πλέον ἐξεδίδαξας·
Καὶ γὰρ ἐμὸν κτέρας ἐστὶ, διηνεκέως δέ με θάλπει.
Εἴξατέ μοι, προτέρης σοφίης κοσμήτορες ἄνδρες,
Ἐννεσίας Ἄνακτος ἔχω μελεδήματα θυμοῦ
Πρεσβυτέρων πινυτῆς πολὺ μείζονα μῆτιν ἐφεῦρον,
Μαρτυρίας κατὰ θυμὸν ἀνιχνεύων Βασιλῆος.
Παντοίης ἀπέεργον ὁδοῦ κακοεργέος ἴχνος,
Ὄφρα φίλον σέο μῦθον ἐμαῖς πραπίδεσσι φυλάξω.

Εὐδικίην φρούρησα τεὴν ἀκλινέϊ βουλῇ,
Σῆς ὑποθημοσύνης πεφοβημένος αἰὲν ἀνωγήν.
Σὸν περὶ λευκανίην ἐπέων νόμον ἡδὺν ἐφεῦρον,
D Λαυρότερον γλυκερῆς μελικηρίδος ἄμμιν ἐόντα
Πάντα μάλα ξυνέηκα τεῶν χάριν ἐννεσιάων,
Ἔνθεν πᾶσαν ἄθεσμον ἀπεχθαίρεσκον ἀταρπόν.
ΙΔ'. Λύχνος ἐμὸς σέο θεσμὸς, Ἄναξ, ποσὶν αἰὲν ἐτύχθη,
Ἄφθιτον ἡμετέροις καὶ ἀγήραον ἴχνεσι φέγγος.
Ὤμοσα σῆς, Ἄχραντε, δίκης θέσπισμα φυλάξαι.

Ἠπεδανὸς γενόμην, ἐπέεσσι δὲ σοῖσι βιῴην.
Γλώσσης ἡμετέρης καταθύμια καὶ σὺ κελεύοις,
Καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
Ἦτορ ἐμὸν παλάμῃσι διηνεκέως σέθεν ἴσχω,
Οὐδὲ σέθεν θεσμοῖο φερεζώοιο λαθοίμην.

Ἄμμιν ἐτεκτήναντο λίνον κακομήχανοι ἄνδρες,
Οὐδὲ τεῆς ἀπάνευθεν ἐφημοσύνης ἀλαλήμην.
Μαρτυρίας Βασιλῆος ἕλον ζωαρκέα κλῆρον,
Οὕνεκα τερπωλὴ κραδίης γεγάασιν ἐμεῖο.
Σάς, Μάκαρ, εὐδικίας κραδίῃ ποθέεσκον ἀνῦσαι,
Ὥς κεν ἀμοιβαίοις ἀγαθοῖς ἐμὸν ἦτορ ἰαίνοις.
ΙΕ'. Θεσμὸν σὸν φιλέεσκον, ἀτὰρ στυγέεσκον ἀθέ-[σμους.
Ἄλκαρ ἐμὸν τελέθεις, καὶ ἐμῆς ἐπιτάῤῥοθος ἀλκῆς.
Ἐλπίδα κυδιάνειραν ἔχον σέο πάντοτε μύθοις.
Εἴξατέ μοι, στυγερῶν ὑποφήτορες ἀμπλακιάων,
Ὥς κεν ἀνιχνεύσαιμι Θεοῦ βασιλῆος ἐφετμάς.
Ἀμφὶ τεοῖς ἐπέεσιν ἀρηγόνα χεῖρα τιταίνοις,
Μηδὲ καταισχύνῃς με τεὴν δεδοκημένον ἀλκήν.
Τειρομένῳ μοι ἄρηγε, Μακάρτατε, καί με σαώσοις·
Σεῖο δ' ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω.
Εὐδικίην ἀθέριξας ἀπεχθαίροντας ἀλείτας,
Οὕνεκα δυσσεβέων ἐνθύμιόν ἐστιν ἀλιτρόν.
Ὠσάμην σύμπαντας ἀλιτραίνοντας ἀθέσμους·
Τοὔνεκεν ἀμφαγάπησα χάριν σέο μαρτυριάων.
Δείματι σῷ περίπηξον ἐμὸν δέμας οἷά περ ἥλοις·
Σῶν γὰρ ὑποτρομέω σθεναρὸν κλέος εὐνομιάων.
ΙϚ'. Εὐνομίην ἐτέλεσσα, δικαιοσύνην τ' ἐρατεινήν·
Μή με βιαζομένοισιν ἕλωρ καὶ κύρμα μεθείης.
Εἰς ἀγαθὸν θεράποντα τεόν, Πανυπέρτατε, μίμνοις,
Μηδὲ με νικήσωσι δίκῃ ψευδήγοροι ἄνδρες.
Ὄμματά μευ ποθέεσκον ἀλεξίκακόν σεο φέγγος
Καί σεο συνθεσίης ἀγανὸν καὶ ἀγακλέα μῦθον.
Σῷ θεράποντι, Μάκαρ, ἐλεητύος ἄξια ῥέζοις,
Καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
Εἰμὶ τεὸς θεράπων, σοφίην δὲ μοι ἐγγυαλίζοις,
Καί σευ ἀναγνοίην μελεδήματα μαρτυριάων.
Ὥρη Παμβασιλῆι πολύλλιτον ἔργον ἀνῦσαι.
Σεῖο κακοῤῥέκται κέδασαν ζωαρκέα θεσμόν·
Τοὔνεκα σῶν ἐπόθησα μέγα κλέος ἐννεσιάων

Χρυσοῦ ἀριπρεπέος τε τοπαζίου πολὺ μᾶλλον.
Ἐννεσίης ἴθυνα τεῆς νόον ἔνθεν ὀπηδόν,
Παντοδαπὴν ἤχθηρα βίην, ἀδίκους τε κελεύθους.
ΙΖ'. Μαρτυρίαι Βασιλῆος ἀεὶ περιθαμβέες εἰσί·
Τοὔνεκ' ἀνιχνεύεσκον ἐμῆς πραπίδεσσιν ἁπάσας.
Σῶν ἐπέων χάρις ἄμμι βίην καὶ φέγγος ὀπάσσοι,

Αἰεὶ νηπιάχων σοφίην πραπίδεσσι τιθεῖσα.
Πνεῦμα χανὼν ὕψιστον ὑπὸ στέρνοισιν ἐδέγμην,
Οὕνεκα σῶν ποθέεσκον ἀεὶ κλέος ἐννεσιάων.

Ἄμμι τεὴν τανύσειας, Ἄναξ, ἐλεήμον' ὀπωπήν,
Ὡς θέμις ἐκτελέειν ἀγαπαζομένοισιν ἐρίθοις.
Σοῖς μευ ἐπιθύνειας ἐπίδρομα βήματα μύθοις,
Μηδὲ ἐλεγχήεσσα βακοῤῥαφίη με πεδήσῃ.
Ἐκ ψευδηγορίης μερόπων ὀλοῆς με σαώσοις,
Καὶ σέθεν ἐννεσίας ἀγαθὰς στέρνοισι φυλάξω.
Δευομένῳ θεράποντι τεὴν ἀνάφηνον ὀπωπήν,
Καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
Δακρυόεντα κέλευθα φίλης προχέεσκον ὀπωπῆς,
Οὕνεκα θεσπεσίων ὑπερέδραμον ἤθεα θεσμῶν.
ΙΗ'. Ἡ ῥ' ὅσιος Βασιλεὺς σύ, καὶ εὔθεα πάντα [δικάζεις.

A Nobis fabricaverunt laqueum scelerati viri.
Neque tuo procul a mandato aberravi.
Testimonia Regis elegi vitalem sortem,
Quia lætitia cordis sunt mei.
Tuas, Beate, justitias corde desiderabam perficere,
Ut alternis bonis meum cor exhilares.
15. Legem tuam diligebam, at oderam iniquos,

Auxilium meum es, et mei defensor roboris.
Fiduciam illustrem habebam tuis semper verbis.
Cedite mihi, odiosorum auctores scelerum,
Ut exquiram Dei Regis mandata.
In tuis verbis tutricem manum extendas,
Neque confundas me tuum exspectantem robur.
Afflicto mihi auxiliare, Beatissime, et me serves:
B Tuis vero in justitiis semper meditabor.
Justitiam parvipendisti odio prosequentes iniquos,
Quia impiorum cogitatio est scelerata.
Reputavi omnes errantes iniquos:
Ideo dilexi gratiam tuorum testimoniorum.
Timore tuo confige meum corpus veluti clavis:
Tuarum enim reformido validum robur æquitatum.
16. Æquitatem feci, justitiamque amabilem,
Ne me opprimentibus prædam et ludibrium dedas.
In bonum famulum tuum, Supreme, maneas,
Neque me vincant judicio mendaces viri.
Oculi mei cupiebant salutare tuum lumen,
E tui pacti mitem et gloriosum sermonem.
Tuo famulo, Beate, commiseratione digna facias,
Et me justitiam gloriosam tuam doceas
Sum tuus famulus, sapientiam vero mihi præbeas,
C Et tuorum intelligeram curas testimoniorum.
Tempus omnium Regi venerandum opus perficere.
Tuam malefici dissipaverunt vivificam legem
Ideo tuorum desideravi magnum decus mandato-[rum,
Auro præstantique topazio multo magis.
Mandati direxi tui mentem inde ancillam,
Omnifariam odi violentiam, iniquasque vias.
17. Testimonia Regis semper stupenda sunt,
Ideo exquirebam meis præcordiis omnia
Tuorum verborum gratia nobis vim et lumen præ-[beat,
Semper parvulorum sapientiam animis addens.
Spiritum hians altissimum in pectoribus recepi,
Quia tuorum desiderabam semper gloriam manda-
D [torum.
Nobis tuum extendas, Rex, misericordem vultum,
Sicut fas perficere diligentibus famulis.
Tuis meos dirigas veloces gressus verbis,
Neque vituperanda malignitas me compediat.
De mendacio hominum pernicioso me serves
Et tua mandata bona pectoribus custodiam.
Indigenti famulo tuum ostende vultum.
Et me justitiam gloriosam tuam doceas.
Lacrymosas vias chari profundebam aspectus,
Quia divinarum transgressus sum mores legum.
18. Profecto sanctus Rex tu, et recta omnia [judicas.

Tuam justitiam mandasti testimoniis,
Et robur firmum veritatis amabilis
Tuarum divinarum mœrore tabesco domorum,
Puia tuorum obliti sunt insani mandatorum.
Tuum igni ardenti persimile est verbum,
Sed illud sic famulus corde tuus diligat.
Puber sum, et ignominiosus aliquis fui,
Sed semper animis justificationes tuas cano.
Tua justitia immortalis dies omnes,
Et tua veritas consultas leges comitatur.
Labor me odiosus et difficiles occupaverunt neces-
[sitates,
Sed non sic oblitus sum cogitationes tuas canere.
Testimonia sanctis fers plena operibus,
Da mihi, Rex, prudentiam, vita vero mihi sufficiens
[fuerit.

19. Ex animo clamabam, Immaculate, etiam me
[serves,
Et tua testimonia bona pectoribus custodiam
Præveniens clamabam, Immaculate, nocte intem-
[pesta,
Fiduciam Regis meam verbis extendens.
Oculi mei promicuerunt cito post tempus matuti-
[num,
Ut tuorum verborum cogitationes honestas voci-
[ferer.
Vocem nostram misericorde audi animo,
Tuis meam dirige in æquitatibus viam.
Injustitiam expulsores mei sociam habebant,
Tuam vero honorabilem fugerunt et gloriosam le-
[gem.
Prope, Rex, et tuæ veraces sunt viæ.
Ab initio laudabili cognovi tua testimonia,
Indesinenter quia firma fundamenta fixisti omni-
[bus.

20. Imbecillitatem meam, Rex, respice, et me
[serves,
Legem quia præcordiis tuam memor habeo.
Redimens, Rex, me, judicium judices meum,
Nostræ vitæ tuum verbum causa esto.
Impiorum procul salutare tuum lumen:
Tuas enim obliti sunt justificationes exquirere
Misericordiæ Regis infinitæ sunt.
Tuis meam dirige in æquitatibus viam.
Multi persequentes onerant me laboribus,
Sed non sic procul conversus sum a tuis testimo-
[niis.
Stultitiæ servos videns, extabesco corde,
Quorum animus tuum verbum recusabat servare.
Considera ut in tuis mandatis occupatus sim,
Fiduciam vitæ tuam misericordiam elegerim.
Tuorum quidem veritatem statuisti matrem verbo-
[rum,
His vero in æquitate mandasti semper legem.

21. Frustra me persequebantur importuni prin-
[cipes,

A Σεῖο δικαιόσύνην ἐπετείλαο μαρτυρίῃσι,
Καὶ σθένος ἀστυφέλικτον ἀληθείης ἐρατεινῆς.
Σεῖο θεοπρεπέων ἄχεϊ κατατήκομαι οἴκων·
Οὕνεκα σῶν ἐλάθοντο κακόφρονες ἐννεσιάων.
Σεῖο πυριφλεγέθοντι (15) πανείκελος ἔπλετο μῦθος·
Ἀλλὰ μιν ὥς θεράπων κραδίῃ τεὸς ἀμφαγαπάζοι.
Ἡβητὴρ τελέθω, καὶ ἐλεγχήεις τις ἐτύχθην·
Ἀλλ' αἰεὶ πραπίδεσσι δικαιοσύνας σέο μέλπω.
Σεῖο δικαιοσύνη παναγήραος ἤματα πάντα,
Καί σευ ἀληθείη πινυτοῖς θεσμοῖσιν ὀπηδεῖ.
Μόχθος με στυγερὸς καὶ ἀμήχανοι ἔσχον ἀνάγκαι·
Ἀλλ' οὐδ' ὥς λαθομην μελεδήματα σεῖο λιγαίνειν.
Μαρτυρίας ὁσίων φορέεις ἐγκύμονας ἔργων,
Δός μοι, Ἄναξ, πινυτὴν, βίοτος δέ μοι ἄρκιος εἴη.

B

ΙΘ'. Ἐκ θυμοῦ βοάασκον, Ἀκήρατε, καί με σαώ-
[σοις,
Καί σεο μαρτυρίας ἀγαθὰς στέρνοισι φυλάξω.
Προφθάμενος βοάασκον. Ἀκήρατε, νυκτὸς ἀμολγῷ,
Ἐλπωρὴν Βασιλῆος ἐμὴν ἐπέεσσι πετάσσας.
Ὄμματά μευ προὔκυψε θοῶς μετὰ καιρὸν ἄωθεν,
Ὄφρα τεῶν ἐπέων μελεδήματα καλὰ βοήσω.
Φωνῆς ἡμετέρης ἐλεήμονι κέκλυθι θυμῷ,
Σῇσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.
Δυσνομίην ἐλατῆρες ἐμοὶ συνέριθον ἔχεακον·
Σεῖο δὲ τιμήεντα φύγον καὶ ἀγακλέα θεσμόν.

C Ἐγγὺς, Ἄναξ, καί σευ παναληθέες εἰσὶν ἀταρποί.
Ἐξ εὐηγεσίης ἐδάην σεο μαρτυριάων,
Νωλεμέως ὅτι πιστὰ θεμείλια πήξαο πᾶσιν.

Κ'. Ἀδρανίην μευ, Ἄναξ, ἐπιδερκεο, καὶ με σαώ-
[σοις·
Θεσμὸν ἐπεὶ πραπίδεσσι τεὸν μεμνημενος ἴσχω.
Ῥυσάμενος, Βασιλεῦ, μὲ, δίκην δικάσειας ἐμεῖο·
Ἡμετέρου βιότοιο τεὸς λόγος αἴτιος ἔστω
Δυσσεβέων ἀπάνευθεν ἀλεξίκακόν σεο φέγγος·
Σεῖο γὰρ ἐξελάθοντο δικαιοσύνας ἐρεείνειν.
Οἰκτιρμοὶ Βασιλῆος ἀπειρέσιοι γεγάσιν·
Σῇσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.
Μυρίοι ἐξελάοντες ἐπιβρίθουσί με μόχθοις,
Αλλ' οὐδ' ὥς ἀπάνευθε τράπην σεο μαρτυριάων.

D

Ἀφροσύνης θεράποντας ἰδὼν, κατατήκομαι ἦτορ,
Οἷσι νόος σεο μῦθον, Ἄναξ, ἠρνεῖτο φυλάσσειν.
Φράζευ, ὅπως περὶ σῇσιν ἐφημοσύνῃς μεμέλημαι.
Ἐλπωρὴν βιότοιο τεὴν ἐλεητὺν ἑλοίμην.
Σῶν μὲν ἀληθείην προστήσαο μητερα μύθων,
Τοῖσι δ' ἐπ' εὐδικίας ἐπετείλαο πάντοτε θεσμόν.

ΚΑ'. Μαψιδίως μ' ἐδίωκον ἀναιδέες ἡγεμονῆες·

(15) Πυριφλεγέθοντι Forte disjunctim, πυρὶ φλεγέθοντι. EDIT.

Μοῦνα δὲ σῶν τρομέεσκον ἐμῇ φρενὶ δείματα μύθων.

Ἀμφὶ τεοῖς ἐπέεσσι φίλον κεχαρήσομαι ἦτορ,
Ὥς τις ἀπαινύμενος δηίων ἄπο ληίδα πολλήν.

Δυσνομίην ἔστυξα, τεὸν νόμον ἀμφαγαπάζων.
Ἑπτάκις ἠμάτιός τοι, Ἄναξ, τεὸν ᾔνεσα κῦδος,
Ἔργα δικαιοσύνης μεγαλαυχέα σεῖο λιγαίνων.
Εἰρήνη Βασιλῆος ὑποδρηστῆρας ἐρύκοι,
Οὐδέ τι νεῖκος ἔχουσι μετὰ σφίσιν ὁρμηθέντες.
Σὸν φάος ᾠσάμην, σέο δ' ἐννεσίας ἐπόθησα·
Μαρτυρίας ἐφύλαξα τεὰς, ἀγάπησά τε θυμῷ·
Ἐννεσίας ἐφύλαξα καὶ ἁρμονίας ἐρατεινάς.
Ἔγνως νωιτέρων κατεναντία τέρμα κελεύθων.
ΚΒ'. Ἱκεσίη Βασιλῆος ἐμὴ προπάροιθεν ἱκέσθω·
Μύθων σῶν πινυτὴν ἀντάξιον ἄμμιν ἰάλλοις.

Σεῦ, Μάκαρ, ἡμετέρων χάρις ἵξεται ἄντα λιτάων·
Ἀλκτήρ μοι κακότητος ἀεὶ σεο μῦθος ἐπέστω

Χείλεσιν εὐκελάδοισι μέλος φιλόμολπον ἀείσω,
Εὖτε δικαιοσύνην μ' ἐρικυδέα σεῖο διδάξῃς.
Γλῶσσα τεὸν φθέγξαιτο φίλον ζωαρκέα μῦθον,
Ἐννεσίῃς ὅτι σῇσι δικαιοσύνην ἐκέρασσας.
Δεξιτερὴν τανύσειας, Ἄναξ, σεο, καί με σαώσοις·
Οὕνεκα σῶν πραπίδεσσι λιλαίομαι ἐννεσιάων.
Ἐκ θυμοῦ ποθέεσκον ἀλεξίκακόν σεο φέγγος·
Γλώσσῃ θεσμοσύνην βασιλήιον ὑμνοπολεύσω.
Ζώοι θυμὸς ἐμεῖο, καί σευ κλυτὸν αἶνον ἀείσει·

Καὶ σέθεν εὐδικίῃσιν ἀεὶ μεμελημένος εἴην.
Εἰροπόκου προβάτου καὶ ὀλωλότος ἶσον ἀλήθην.
Μνήμονα σὸν θεράποντα τεῆς ἴχνευσον ἀνωγῆς·

ΨΑΛΜΟΣ ΡΙΘ'.

Ἐνδεκάτη δεκὰς ἥδε πρὸς εἰνάτην ἄφθιτος οἴμη.
Ὠδὴ κλιμακόεσσα φερεζώων ἀναβαθμῶν.
Τειρόμενος βοάασκον, Ἄναξ δ' ἐπάκουσε λιτάων.
Χειλέων ἐξ ἀδίκων ἐμὸν, Ἄφθιτε, ῥύεο θυμὸν,

Μή με, Μάκαρ, γλώσσης δολίης μέλπηθρον ἐάσσῃς.
Γλώσσῃ, Ἄναξ, δολερῇ τί νύ τις πόροι, ἢ τί προσέσται;

Ἀλκήεντος ἔασι τεθηγμένοι αἰὲν ὀϊστοὶ,
Θηροκόμου φλογεροῖσιν ὁμῶς ἄνθραξιν ἐρήμου·
Ὤμοι! ἐπεὶ μάλα δηρὸν ἐπὶ χθονὸς οἰκία ναίω,

Κηδᾶρος καλύβῃσι συνέστια δώματα πήξας.
Δηρὸν ναιετάασκον ἐπ' ὀθνείῃσιν ἀρούραις.
Εἰρήνην μετὰ πᾶσι φιλοπτολέμοισι δίωκον·
Ἐς μόθον ὠτρύνοντο μάτην λαλέοντος ἐμεῖο

ΨΑΛΜΟΣ ΡΚ'.

Δωδεκάτη δεκὰς ἥδε, φερεζώων ἀναβαθμῶν.
Ὄμματα δενδροκόμων ὀρέων ὑπερεξετάνυσσα,
Ἀλκὴν ἡμετέρης ποτιδέγμενος ἔνθεν ἀρωγῆς.
Κάρτος ἐμὸν Βασιλῆι παρ' ἀλκήεντι τετύχθω,
Ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.
Ἀλλὰ φίλος μὴ σεῖο πόδα κλονέεσθαι ἐάσσῃ,
Μηδέ σευ ἀγρύπνου φύλακος νόον ὕπνος ἐρύξῃ.

A Solos vero tuorum formidabam mea mente pavores verborum.

In tuis verbis charum gaudebo cor,
Velut aliquis reportans ab hostibus prædam multam

Iniquitatem odi, tuam legem diligens.
Septies in die, Rex, tuum laudavi decus,
Opera justitiæ magnifica tuæ prædicans.
Pax Regis ministros retineat,
Neque aliquam rixam habent inter se commoti.
Tuum lumen reputavi, tua vero mandata cupivi :
Testimonia custodivi tua, dilexique animo :
Mandata servavi, et compositiones amabiles.
Cognovisti nostrarum coram terminum viarum.
22. Deprecatio Regem mea ante veniat,
B Verbis tuis prudentiam respondentem nobis mittas.

Te, Beate, nostrarum gratia veniet coram precum,
Propulsator mihi malitiæ semper tuum verbum adsit.

Labiis sonoris carmen jucundum canam,
Cum justitiam me gloriosam tuam docueris.
Lingua tuum loquatur charum vitale verbum,
Mandatis quia tuis justitiam temperasti.
Dexteram extendas. Rex, tuam, et me serves,
Quoniam tua animis cupio mandata.
Ex animo cupiebam salutare tuum lumen,
Lingua sanctionem regiam celebrabo.
Vivat animus meus, et tuam inclytam laudem canet :

Et tuis æquitatibus semper deditus sim.
C Lanigeræ ovis et perditæ æqualiter erravi :
Memorem tuum famulum tui pervestigato jussi.

PSALMUS CXIX.

*Undecima decas hæc præter nonam incorrupta cantio.*
*Carmen graduale almorum graduum.*
Oppressus clamabam. Rex vero exaudivit preces.
Labiis ab iniquis meum, Incorrupte, libera animum,

Ne me, Beate, linguis dolosis ludibrium sinas.
Linguæ, Rex, dolosæ quidnam quispiam præbeat, aut quid aderit?

Robusti sunt acutæ semper sagittæ,
Feras alentis fervidis æque carbonibus deserti.
Heu mihi! quoniam valde diu in terra domos habito,

D Cedaris tuguriis contubernales domos figens.
Diu habitabam in alienigenis terris.
Pacem inter omnes belli studiosos persequebar,
Ad certamen concitabant temere, loquente me.

PSALMUS CXX.

*Duodecima decas, hæc, almorum graduum.*
Oculos super arboriferos montes extendi,
Robur nostri exspectans inde auxilii.
Fortitudo mea Rege a forti sit
Qui terram viridem et cœlum latum fecit.
Verum amicus ne tuum pedem moveri sinat,
Neque tui vigilantis custodis mentem somnus occupet.

Non enim nutantem comprehendat profundus somnus
Custodem inclytum prudentis Israelis.
Dexteram tuam manum tegat custodiens :
Non te diurna comburet vis solis,
Neque nocturna cornuta lædat luna.
Omnifariæ improbitatis Rex procul prohibeat,
Animam tuam curans,ut nunquam dolor reperiat.
Æternus ingredientem et egredientem te foveat,
Nunc simul et postea perpetuis sæculis.

## PSALMUS CXXI.

*Duodecima decas hæc retrograda ad unum carmen.*
Viros ut audivi, multum sane multum animo exhilaratus sum,
Qui me Dei in domum comitem dixerunt venire.
Inde Hierusalem sacræ circumstetimus atria :
Hæc ipsi velut civitas ædificabatur honorata.
Circum vero ipsam congregati sunt quicunque prope sunt vicini
Illuc enim properabant accedere duodecim tribus,
Populorum testimonium divini Israelis
Ut celebrent immaculatum nomen divinum.
Illic doctæ figebantur judicio gratæ sedes,
Davidis magnanimi in domibus sedes.
Pacem Hierusalem quærite profundam :
Te, Beate, diligentes immensæ manent opes.
Arcibus turritis sunt vivificæ opes.
Fratrum et meorum gratia, Incorrupte, sociorum,
Pacem loquebar ego tui causa consilii :
Inde vero tuæ domus cupiebam tibi beata omnia.

## PSALMUS CXXII.

*Duodecima decas hæc, fert vero simul secundum hymnum.*
Oculos levavi ad cœlestem Regem :
Sicut vero quando famulis lumen in manibus regum,
Sicut vero quando ancillæ lumen in manibus reginæ,
Noster, Beate, oculus tuum percupit præsidium,
Donec indigentibus tuam misericordiam porrigas.
Nos sed miserare, Beatissime,neque desinas,
Contumelia ideo omnes repleti sumus molesta.
Animus in pectoribus malis opprimitur cuilibet :
Viris opulentis opprobria acerba relinquantur,
Cæterum superbis probro omnia sint.

## PSALMUS CXXIII.

*Hæc duodecima tertium decas hymnum ducens.*
Nostri nisi custos erat urbium liberator Rex
Nisi custos erat, dicat magnus Israel,
Nobis armati hostes in pugna viri,
Etiam deglutientes adhuc vivos ceperunt.
Irascentium vero æstuante et immiti furore,
Etiam rapida submersos absorbuisset nos aqua
Animo hibernæ pertransivimus aquæ impetum :
Anima vero nostra pertransivit instabilem aquam,
Laudandus qui capturam eorum non dedit dentibus.
Noster passeri persimilis volabat animus,
Molesta monticolarum fugiens retia venatorum.

A Οὐ γὰρ νευστάζοντα λάβοι κάτα νήδυμος ὕπνος
Φρουρὸν ἀγακλήεντα πολύφρονος Ἰσραήλου.
Δεξιτερήν σεο χεῖρα Θεὸς σκεπάσειε φυλασσων·
Οὔ σε πανημέριον φλέξει μένος ἠελίοιο.
Οὐδέ σε παννυχίη κεραὴ σίνοιτο σελήνη.
Παντοίης κακότητος Ἄναξ ἀπάνευθεν ἐρύκοι,
Ψυχῆς σῆς ἀλέγων, ἵνα μήποτε ἄλγος ἐφεύροι.
Ἄφθιτος εἰσελάοντα καὶ ἐξελάοντά σε θάλποι,
Νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

## ΨΑΛΜΟΣ ΡΚΑ'.

Δωδεκάτη δεκὰς ἥδε παλισσυτος ἐς μίαν οἴμην.
Ἀνδρῶν ὡς πυθόμην, πολὺ δὴ, πολὺ θυμὸν ἰάνθην,
Οἵ με Θεοῦ πρὸς δῶμα συνέμπορον εἶπον ἱκέσθαι.
B Ἔνθ' Ἰερουσαλῆς ἱερᾶς ἀμφέσταμεν αὐλάς·
Ἡ δέ οἱ οἷα πόλις τεκταίνετο τιμήεσσα
Ἀμφὶ δέ μιν ξυνάγερθεν ὅσοι πέλας εἰσὶ θυραῖοι.
Κεῖθι γὰρ ὠτρύνοντο μολεῖν δυοκαίδεκα φυλαι,
Δήμων μαρτυρίη θεοτερπέος Ἰσραήλου·
Ὄφρα κεν ὑμνήσωσιν ἀκήρατον οὔνομα θεῖον.
Κεῖσε σοφαὶ πήγνυντο δίκῃ μεμελημέναι ἕδραι,
Δαυΐδου ῥηξισθενέος μετὰ δώμασι θῶκοι.
Εἰρήνην Ἰερουσαλῆ δίζεσθε βαθείην.
Τούς σε, Μάκαρ, φιλέοντας ἀπειρέσιος μένει ὄλβος·
Ἕρκεσιν εὐπύργοισι πέλει φυσίζοος ὄλβος.
Αὐτοκασιγνήτων καὶ ἐμῶν χάριν, Ἄφθιθ', ἑταίρων,
Εἰρήνην λαλέεσκον ἐγὼ σέθεν εἵνεκα βουλῆς·
Ἔνθα δὲ σεῖο δόμων πόθεον σέθεν ὄλβια πάντα·

## ΨΑΛΜΟΣ ΡΚΒ'

C Δωδεκάτη δεκὰς ἥδε, φέρει δ' ἅμα δεύτερον ὕμνον.
Ὀφθαλμοὺς ἀνάειρα πρὸς οὐράνιον Βασιλῆα.
Ὡς δ' ὁπότε δμώεσσι φάος μετὰ χερσὶν ἀνάκτων,
Ὡς δ' ὁπότ' ἀμφιπόλοιο φάος μετὰ χερσὶν ἀνάσσης,
Νωΐτερον, Μάκαρ, ὄμμα τεῆς ἐπιμαίεται ἀλκῆς,
Εἰσόκε δευομένοισι τεὴν ἐλεητὺν ὀρέξῃς
Ἡμέας ἀλλ' ἐλέαιρε, Μακάρτατε, μηδ' ἀπολήγοις·
Ὕβριος εἵνεκα πάντες ἐνεπλήσθημεν ἀνιγρῆς.
Θυμὸς ἐνὶ στήθεσσι κακῶν βέβριθεν ἑκάστῳ·
Ἀνδράσιν ἀφνειοῖσιν ὀνείδεα πικρὰ λελείφθω,
Αὐτὰρ ὑπερφιάλοισιν ἐλέγχεα πάντα τετύχθω.

## ΨΑΛΜΟΣ ΡΚΓ'.

Ἥδε δυωδεκάτη τρίτατον δεκὰς ὕμνον ἄγουσα.
D Ἡμέων εἰ μὴ φρουρὸς ἔην ῥυσίπτολις Ἐσσὴν,
Εἰ μὴ φρουρὸς ἔην, λεγέτω μέγας Ἰσραῆλος,
Ἄμμι κορυσσόμενοι δήιοι μετὰ φύλοπιν ἄνδρες,
Καί κε καταβρώξαντες ἔτι ζώοντας ἕλοντο.
Τῶν δὲ κοτεσσαμενων φλογερῷ καὶ ἀπηνέϊ θυμῷ.
Καί κε θοὸν βρυχίους κατερήτυεν ἡμέας ὕδωρ.
Θυμῷ χειμερίοιο παρήλθομεν ὕδατος ὁρμήν·
Ψυχὴ δ' ἡμετέρη παρελήλυθεν ἀσταθὲς ὕδωρ.
Αἰνετὸς ὅς θήρην σφετεροις οὐ δῶκεν ὀδοῦσι.
Νωιτερος στρουθοῦ πανομοιος ἐπτατο θυμὸς,
Δεινὰ ὀρεσσιτρόφων προφυγὼν λίνα θηρητήρων.

Δίκτυον ἐῤῥαίσθη, φύγομεν θ' ἄπρηκτον ἀνάγκαν.

Ἡμέτερον Βασιλῆι παρ ἀθανάτῳ κράτος ἐστὶν,
Ὅς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε.

ΨΑΛΜΟΣ ΡΚΔ'.

Δωδεκάτη δεκὰς ἥδε, φέρει δ' ἅμα τέτρατον ὕμνον.

Οὔρεϊ Ἀθανάτῳ πίσυνοι Σιῶνος ὁμοῖοι.
Οὐχ Ἱερουσαλῆς ναέτην κλόνος ἱκάνοι.
Οὔρεά οἱ κύκλῳ, δῆμου δ' τε κυκλόθεν Ἐσσὴν,
Νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
Οὐ γὰρ ἀτασθάλλοντος Ἄναξ ποτὲ ῥάβδον ἐάσσει
Κλήρῳ ἀριπρεπέων ὁσίων ἐναρίθμιον εἶναι,
Ὡς μὴ ἐπ' ἀμπλακίῃ παλάμας τανύσωσι δίκαιοι
Τοῖς ἀγαθοῖς ἀγάθυνον ὁμοῦ τ' ἰθύφροσι θυμῷ.
Τοὺς δὲ λιλαιομένους σκοτίῃς βουλῆσι κυδοιμοῦ,
Δυσνομίης Ἄχραντος ἅμ' ἐργατίνῃσιν ἀπάξει.
Εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον.

ΨΑΛΜΟΣ ΡΚΕ'.

Δωδεκάτη δεκὰς ἥδε, μέλος θ' ἅμα πέμπτον ἔχουσα.

Σιῶνος παλίνορσον Ἄναξ ὅτε ληίδ' ἀγείρει,
Ἄμμι πολυστονάχων ἀχέων παραμύθιον ἦεν

Ἀ πόσον ἐμπλησθέντες ἀνὰ στόμα χάρμα φέροιμεν
Τερπωλῆς δ' ἐρόεσσαν ὅλης ἐγκύμονα γλῶσσαν!
Καί κέ τις ἀλλοδαπῶν ἐρέει καὶ νόσφιν ἀκούσας,

Ταῦτα Θεοῦ βασιλῆος ἔφυ μεγαλαυχέα ἔργα.
Ἡμεῖς ἐπ' εὐφροσύνῃ τε καὶ ἀγλαΐῃ τελέθοιμέν,
Ἡμετέρην στρέψειας ἀλήμονα ληΐδα, Ποιμὴν,
Οἷα νότου πνοιῇ στρέφεται χειμάῤῥοος αἰνός.
Δάκρυσιν οἱ σπείροντες, ἐπαμήσωσι (16) χαρέντες.
Γειαρόται στενάχιζον ἑὸν σπόρον ἐξαγαγόντες.
Ἀντ' ὀλοοῦ δε φέροιντο γόου ποτὶ δράγμασι χάρμα.

ΨΑΛΜΟΣ ΑΚϚ'.

Δωδεκατη δεκὰς ἥδε, μέλος δ' ἔχει εντον ἀγητον

Εἰ μὴ Παμβασιλεὺς ἐθέλων δωμήσεται οἶκον,
Ἀ πόσα μοχθήσουσι μάτην περετέκτονες ἄνδρες!
Εἰ μὴ Παμβασιλεὺς ἀριδείκετον ἄστυ φυλάξει,
Μαψιδίως ἄγρυπνον ἔχει πυλαωρὸς ὀπωπήν
Ἐκ δ' ἠοῦς κενεὴ πέλεται φυλακή τις ἑκάστῳ
Ἔγρεσθε· τί μοι ὧδε μετὰ σφέας ἑδριάασθε,
Δαιτὸς ἀπαινύμενοι μογερῆς πολυώδυνον ἄρτον;

Εὖτε γὰρ οἷσι φιλοισι μόλοι πέρι νήδυμος ὕπνος,
Δέρκεό μοι Βασιλῆος ἰὼν κλῆρόν τε καὶ υἷας,
Γαστρὸς καρποτόκοιο φίλον καὶ ἀγακλέα μισθόν.
Οἷα γὰρ ἀλκήεντι πέλει μετὰ χερσὶ βέλεμνα,
Ὡς τιναχθέντων σθεναροὺς θήσεται υἷας.
Ὄλβιος ὅστις ἔθεν φίλον ἵμερον ἐκτολυπεύσει·
Οὐδ' ἐχθροῖς λαλέοντες (17) ἕλοι ψύθος ἄντα πυλάων.

A Rete confractum est, effugimus vero irritam ne- [cessitatem.

Nostrum Rege ab immortali robur est,
Qui terram viridemque et cœlum latum fecit.

PSALMUS CXXIV.

*Duodecima decas hæc, fert vero simul quartum hym- [num.*

Monti immortali fidentes Sionis similes:
Non Hierosolymæ incolam turbatio gravis occupet.
Montes ei in circuitu, populique in circuitu Rex,
Nunc simul et postea perpetuis sæculis.
Non enim malignantis Rex unquam virgam sinet
Sorti præstantium sanctorum annumeratam esse,
Ut non ad iniquitatem manus extendant justi.
Bonis benefac simulque rectis animo,
Appetentes vero tenebrosis consiliis belli,
B Injustitiæ purus simul cum operariis abducet.
Pax gratiosa super gloriosum Israelem.

PSALMUS CXXV.

*Duodecima decas hæc, carmenque simul quintum [habens.*

Sionis reducem Rex quando prædam congregat,
Nobis multorum gemituum mœrorum solamen [erat.

O quantum repleti in ore gaudium ferebamus!
Lætitiæ vero amabilem totius gravidam linguam.
Et aliquis alienigenarum dicet etiam seorsum au- [diens,

Hæc Dei regis sunt gloriosa opera.
Nos in lætitiaque et splendore simus,
Nostram vertas vagam prædam, Pastor,
C Sicut austri flatu vertitur torrens horrendus.
In lacrymis seminantes, metent exsultantes.
Agricolæ ingemiscebant suum semen emittentes;
Pro pernicioso reportent luctu in manipulis gau- [dium.

PSALMUS CXXVI.

*Duodecima decas hæc, carmen habet sextum admira- [bile.*

Si non Dominus volens ædificaverit domum,
O quam multa laborant frustra artifices viri!
Si non Dominus inclytam civitatem custodierit,
Vane vigilem habet custos oculum.
De autem aurora vana est custodia quævis cuique.
Surgite, quid mihi sic secundum vos sedetis,
Convivii auferentes molesti dolorum refertum pa- [nem?

D Cum enim suis charis venerit suavis somnus,
Inspice mihi Regis prodiens hæreditatemque et filios
Ventris fecundi charam et gloriosam mercedem.
Sicut enim valido sunt in manibus sagittæ,
Sic excussorum robustos intuebitur filios.
Beatus qui suum charum desiderium perficiet:
Neque inimicis loquentes capiat mendacium ante (portas.

(16) Ἐπαμήσωσι. Forte ἐπαμήσουσι. Edit.

(17) Λαλέοντες. Fsrte, λαλέοντος. Edit.

## PSALMUS CXXVII.

*Septimum complectens duodecima decas hymnum.*

Felices quibus curæ est apud se timor Dei,
Quibus via Regis semper pedes sunt parati.
Delectaberis quæ laborasti comedens suavem fru- [ctum :
Erunt tibi pulchra omnia, mortalium vero beatis- [simus audies.
Tua uxor viti persimilis domum proteget,
Filii rursum novellis similes nati olivis,
Circa tuam florentes venerunt orbiculariter mensam
Sic valde felicitentur quicunque timent Regem.
Immortalem de Sione habeas regiam laudem,
Divinæ vero Hierosolymæ intueberis opes,
Indefessæ vitæ prorsus dies omnes.
Nepotes de filiis charis oculis inspicies :
Pax gratiosa super inclytum Israelem.

## PSALMUS CXXVIII.

*Octavum coruscans duodecima decas hymnum.*

Sæpe a juventute mihi importunum fecerunt cla- [morem,
Dicat robustus et celebris Israel ;
Sæpe a juventute mihi importunum fecerunt cla- [morem :
Neque mihi festinantes antea poterant adæquare,
Impii fabricabant meo malos dolores dorso,
Peccatum suum stolidum extendentes.
Cæterum Rex sanctus confregit cervicem peccato- [rum :
Probrum osores semper Sionis obruat.
Sicci vero fiant velut super domos fenum,
Quodque ante messorem tristi arescit tempore.
De quo messor vacuam venit manum ferens :
Neque utique sinum implevit annus manipulos [cogens :
Neque prætereuntium aliquis laudavit viros operis:
Viros laudabant divino gaudentes tempore.

## PSALMUS CXXIX.

*Duodecima decas hæc supra nonum hymnum videtur.*

Ab imo de voragine clamorem orsus sum indigens,
Vocem nostram, supreme, exaudi, Pastor.
Supplicationem audi, meam vero suscipe vocem.
Si enim iniquitates hominum pectoribus servaveris,
Quis mortalis Immortalis poterit coram furore ?
Semper, Rex, misericordiam præcordiis custodis :
Propter tuam sapientiam, virtutem regiam sustini.
Animo festinabam divinam legem capere,
Et corde cupiebam tibi meam, Beate, spem ponere.
Diei a custodia nocturnas etiam usque vias,
Diei a custodia curæ sit Deus Israeli.
Quia Rex misericordiam habet et liberum diem,
Liberans afflictione universum gloriosum Israelem.

## PSALMUS CXXX.

*Hic decadis tricesimæ est hymnus.*

Nunquam mihi præcordiis insolens cor elevatum est
Neque meos fefellit sublimis oculos contumelia :
Neque unquam in magnis habui exaltatum cor :
Neque præstantioribus in miraculis expansus sum.
Sed semper sapiebam humillima benignitatibus,

A

## ΨΑΛΜΟΣ ΡΚΖ'.

Ἕβδομον ἀμφιέπουσα δυωδεκάτη δεκὰς ὕμνον.
Ὄλβιοι οἷσι μέμηλε μετὰ σφίσι δεῖμα Θεοῖο,
Οἷσιν ὁδῷ Βασιλῆος ἀεὶ πόδες εἰσὶν ἑτοῖμοι.
Τέρψεαι ὧν ἐμόγησας ἔδων μελιηδέα καρπόν·
Ἔσται τοι καλὰ πάντα, βροτῶν δ' ὄλβιστος ἀκούσεις.
Σὴ δάμαρ ἡμερίδι πανομοίιος οἶκον ἐρέψει,
Υἱέες αὖ νεαραῖς ἴκελοι γεγαῶτες ἐλαίαις,
Ἀμφὶ τεῆς θαλέθοντες ἱκοίατο κύκλα τραπέζης.
Ὧδε μάλ' ὀλβιάζοινθ' ὁπόσοι τρομέουσιν ἄνακτα.
Ἄφθιτον ἐκ Σιῶνος ἔχοις βασιλήϊον αἶνον.
Θεσπεσίης δ' Ἱερουσαλῆς θηήσεαι ὄλβον,
Ἀκαμάτου βιότοιο διαμπερὲς ἤματα πάντα
B Υἱωνοὺς περὶ παισὶ φίλοις ὄσσοισι νοήσεις.
Εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον

## ΨΑΛΜΟΣ ΡΚΗ'.

Ὄγδοον ἀστράπτουσα δυωδεκάτη δεκὰς ὕμνον.
Πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν ἀϋτήν,
Βαζέτω ἀλκήεις καὶ ἀοίδιμος Ἰσραῆλος·
Πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν ἀϋτήν,
Οὐδέ μοι ἐσσύμενοι πάρος ἔσθενον ἰσοφαρίζειν.
Δυσσεβέες τέκταινον ἐμῷ κατὰ κήδεα νώτῳ
Ἀμπλακίην σφετέρην ἀποφώλιον ἐκτανύοντες.
Αὐτὰρ Ἄναξ ὅσιος κατὰ δ' ἔκλασεν αὐχέν' ἀλιτρῶν·
Αἶσχος ἀπεχθαίροντας ἀεὶ Σιῶνα καλύπτοι.
Καρφαλέοι δὲ γένοιντο ὅπως περὶ δώματα χόρτος,
C Ὅστε πρὸ ἀμητῆρος ἀμειδέϊ κάρφεται ὥρῃ.
Οὗ πάρ' ἀμαλλοδετὴρ κενεὴν μόλε χεῖρα κομίζων·
Οὐδ' ἄρα κόλπον ἔπλησεν ἐτήσια δράγματ' ἀγεί- [ρων·
Οὐδὲ παρερχομένων τις ἐπήνεσεν ἀνέρας ἔργου.
Ἀνέρας ἤνιζον θείῃ κεχαρηότας ὥρῃ.

## ΨΑΛΜΟΣ ΡΚΘ'.

Δωδεκάτη δεκὰς ἥδ' ἀμφ' εἴνατον ὕμνον ὁρᾶται.
Νείοθεν ἐκ βόθροιο βοὴν ἀνέμελψα χατίζων,
Αὐδῆς ἡμετέρης, πανυπέρτατε, κέκλυθι, Ποιμήν.
Ἱκεσίης ἐπάκουσον, ἐμὴν δ' ὑποδέχνυσο φωνήν.
Ἢν γὰρ δυσνομίας μερόπων στέρνοισι φυλάξῃς
Τίς βροτὸς Ἀθανάτοιο δυνήσεται ἀντία θυμοῦ ;
Αἰὲν, Ἄναξ, ἐλεημοσύνην πραπίδεσσι φυλάσσεις·
Εἵνεκα σῆς σοφίης ἀρετὴν βασιλήϊον ἔτλην
D Θυμῷ ἐπέσπευδον θεοτερπέα θεσμὸν ἑλέσθαι,
Καὶ κραδίῃ πόθεόν σοι ἐμὴν, Μάκαρ, ἐλπίδα θέσθαι.
Ἤματος ἐκ φρουρᾶς νυχίων καὶ μέχρι κελεύθων,
Ἤματος ἐκ φρουρᾶς μελέτω Θεὸς Ἰσραήλου·
Οὕνεκ' Ἄναξ ἐλεητὺν ἔχει καὶ ἐλεύθερον ἦμαρ,
Ῥυόμενος κακότητος ὅλον κλυτὸν Ἰσραῆλου.

## ΨΑΛΜΟΣ ΡΛ'.

Οὗτος τῆς δεκάδος τρισκαιδεκάτης πέλει ὕμνος.
Οὔποτέ μοι πραπίδεσσιν ὑπέρβιον ἦτορ ἀέρθη,
Οὐδὲ μευ ἠπερόπευσε μετήορος ὄμματα λώβη·
Οὐδὲ ποτ' ἐν μεγάλοισιν ἔχον πεποτημένον ἦτορ·
Οὐδέ τ' ἀρειοτέροις ἐπὶ θαύμασιν ἐξεπετάσθην·
Ἀλλ' αἰεὶ φρόνεον χθαμαλώτατα μειλιχίῃσιν,

Αὐδὴν δ' ὧδ' ἀνάειρον ἀθέσφατον, οἷα γάλακτος
Νηπίαχος χατέων ὀλοφύρεται ἀμφὶ τεκούσῃ.
Ὥς κεν ἀμοιβαίοισιν ἐμὸν μετελεύσεται ἦτορ.
Ἰσραῆλος ἄνακτα Θεὸν πραπίδεσσι δοκεύοι.
Νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

ΨΑΛΜΟΣ ΡΛΑ'.

Ἐκ τρισκαιδεκατης δεκάδος πρῶτον καλεούσης
Ἡδὺ μέλος λιγυρόν τε φερεζώων ἀναβαθμῶν.
Μνήσθητι Δαυΐδου, καὶ μειλιχίης ἕο πάσης.
Ὤμοσεν Ἀθανάτῳ, Βασιλῆι δ' ἄρ' εὔξατο τοῖα·

Εἴποτε τιμήεντος ἐλεύσομαι ἔνδοθεν οἴκου.
Εἰ πολὺ καλλίστων λεχέων ἐπιβήσομαι εὐνῆς,

Εἴποτε μείλιχον ὕπνον ἐμοῖς ὑποδέξομαι ὄσσοις,
Εἰ κατανευστάζειν τε φίλοις βλεφάροισιν ἐάσσω,
Εἰ κροτάφοις ἀνάπαυμα μεθ' ἡμετέροισιν ἑλοίμην,
Εἰσόκε τιμήεντα τόπον Βασιλῆι κιχείω,
Ἄφθιτον ὄφρα κε νηὸν Ἰακώβου Θεῷ εὕρω.
Τήνδε μὲν, ὡς πυθόμεσθα, κατ' Ἐφραθὰ βάξις ἀεί-
[δει,
Εὕρομεν, οἶδ' ὅτι βάξις ἀνὰ δρυμὰ κατὰ βήσσας.
Δεῦτε, φίλοι, καλύβας δὲ μετέλθομεν Ἀθανάτοιο,
Καὶ δάπεδον γεραρὸν γουνασόμεθ' οὗ πόδα πῆξεν.
Ἔγρεο, Παμβασιλεῦ, ἀνάπαυμα δὲ σεῖο κιχάνοις·
Σὺν δ' ἅμα φωριαμὸν πανακήρατον αὐτὸς ἐγείρεις (18).
Σεῖο, Μάκαρ, πυκάσαιντο δικαιοσύνην ἱερῆες,
Πολλῷ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
Εἵνεκα Δαυΐδου μεγαλοσθενέος θεράποντος,
Μήποτε σὴν Χριστοῖο μετατρέψειας ὀπωπήν.
Ὤμοσε Δαυΐδῳ Βασιλεὺς παναληθέα ῥέξαι,
Ὤμοσε καὶ κατένευσεν, ἑοὺς δ' ου ψεύσεται ὅρκους,

Θώκῳ ἀνακτορίης σέο νηδύος ἔρνος ἐρεῖσαι.
Συνθεσίην εἰ φῦλον ἐμὴν σεο τήνδε φυλάξει,
Μαρτυρίας τ' ἀγαθὰς, ἃς σφιν φρεσὶν αὐτὸς ἐρεῖσω,
Οὔποτ' ἀπολλήξειε τεῆς ὑπερήμενον ἕδρης·
Οὕνεκα δὴ Σιῶνα Θεὸς προελέξατο θείην,
Ὡς δέ μιν ἱμερτὸν ποθέει καὶ ἐπήρατον οἶκον.
Τοῦτό μοί ἐστ' ἀνάπαυμα μετ' ἀλήκτοισι γενέθλαις·
Ἐνθάδε ναιετάοιμι πόθῳ πεπεδημένος ἐσθλῷ.
Δώματα μὲν πλήσαιμ' ἀγαθῶν ἐπιδευέα χήρας.
Πτωχοῖς δ' αὖτ' ὀπάσαιμι βίου μενοεικέα δαῖτα.

Ἔνθα μὲν ἀρητῆρι πέλοι φάος ἀμφιβαλέσθαι,
Πολλῷ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
Ἐνθάδε Δαυΐδῳ κέρας ἄφθιτον ἀντείλαιμι.
Χριστῷ λύχνον ἑτοῖμον ἐμῷ πόρον ἡγεμονῆα.
Αἶσχος δυσμενέεσσιν ἑοῖς καὶ μῶμον ἀνάψω·
Ἡμετέρη δ' ἀμφ' αὐτὸν ἀκηρασίη ἀνατέλλοι.

ΨΑΛΜΟΣ ΡΛΒ'.

Ἐκ τρισκαιδικάτης δεκάδος μετὰ δεύτερον ὕμνος,
Οἴμη τ' ἐννεσίης ἄφθιτος εὐεπίης.
Τί θνητοῖς καλόν ἔσκε, τί δ' αὖ τέρπνιστον ἐτύ-
[χθη.
Ἠὲ κασιγνήτοισιν ὁμοῦ φίλα δώματα ναίειν ;
Μῦρον ἐπεσσύμενον κεφαλῆς δ' ὡς μέχρι γενείου,

A Vocem vero sic exaltabam immensam, velut lactis
Parvulus egens luget circum matrem :
Sic mutuis meum fruetur cor.
Israel regem Deum præcordiis observet,
Nunc simul et postea perpetuis sæculis.

PSALMUS CXXXI.

*De tricesima decade primum vocante*
*Dulce carmen sonorumque almorum graduum.*

Memento Davidis, et mansuetudinis ejus omnis.
Juravit Immortali, Regi vero utique precatus est
[ talia :
Si quando honoratam ivero intra domum,
Si præstantissimorum conjugiorum ascendero cu-
[ bile,
Si quando mitem somnum meis excepero oculis,
B Si dormitareque charis palpebris permisero,
Si temporibus requiem cum nostris sumpsero,
Donec honoratum locum Regi invenero,
Æternum ut templum Jacobi Deo reperiam.
Hanc quidem, ut audivimus, in Ephrata rumor ca-
[ nit,
Invenimus, novit quod rumor in silvis per convalles
Venite, amici, tuguria vero introivimus Immortalis.
Et solum honoratum adorabimus ubi pedem fixit.
Surge, Domine, requiem vero tuam reperias :
Simul vero una arcam immaculatam excitas.
Tui, Beate, ornentur justitia sacerdotes,
Multa vero pii in lætitia exsultent.
Propter Davidem magnanimum famulum,
Ne quando tuum a Christo avertas vultum.
Juravit Davidi Rex omnino vera facere,
C Juravit et annuit, sua vero non mentietur juraju-
[ randa,
Sedi gubernationis tuæ ventris germen fulcire.
Pactum si soboles meum tua hoc custodierit,
Testimoniaque bona, quæ sibi animis ipse firmabo,
Nunquam desinet tuam sedens super sedem :
Quoniam utique Sionem Deus elegit Divinam,
Sicut vero eam gratam cupit et optabilem domum.
Hæc mihi est requies cum indesinentibus sæculis :
Huc habitem desiderio vinctus bono.
Domos quidem replebo bonis indigas viduæ.
Pauperibus vero rursum suppeditabo vitæ placa-
[ bilem cibum.
Inde quidem sacerdoti fuerit lumen amplecti,
Multa vero pii cum lætitia exsultent.
D Illuc Davidi cornu æternum producam.
Christo lucernam paratam meo præbebam ducem,
Probrum inimicis ejus et vituperium suscitabo :
Nostra vero super ipsum integritas oriatur.

PSALMUS CXXXII.

*De decima tertia decade post secundum hymnus,*
*Cantioque voluntariæ æterna suaviloquentiæ.*

Quid mortalibus pulchrum erat, quid rursum ju-
[ cundum est.
Quam fratribus simul amicas domos habitare ?
Unguentum diffusum capitis vero velut usque bar-
[ bam,

(18) Ἐγείρεις. Forte, ἐγείροις. Edit.

Aaronis honorati barbam totam inungens :
Ab ipsius autem mento decurrens extrema vesti- [ menti.
Sicut ros æthereus floridi Aermonis,
Montibus florigeris super Sionem fluens.
Benedictionem ubi omnem suam mandavit Pastor,
Semper vitæ omnino esse præsidium.

## PSALMUS CXXXIII.

*De tricesima decade tertius est hymnus.*

Servi omnes Regis, canite Pastorem mundi,
Stantes Regis validi in domo,
Domorum qui quærunt Dei bene septa atria.
Tota nocte in Sancti domibus extollite manus,
Et potentem celebrate Dominum.
De tibi Rex ex Sion laudem paratam,
Qui terram viridemque et cœlum latum fecit.

## PSALMUS CXXXIV.

*Semper gloriosum circa quartum hymnum incedit,*
*Tricesimæ decadi carmen alleluia.*

Nomen honoratum resonate Domini :
Pastorem honoratum sapientes celebrate pueri,
Stantes Regis validi in domo,
Quique Dei quærunt domorum bene septa atria.
Canite mihi Regem, quoniam Deus bonus est :
Nomen ei modulamini, quoniam hoc pulchrum [ canere.
Quoniam Jacobum prudentem elegit Pastor :
Et possessionem suam posuit gloriosum Israelem.
Cognovi charis præcordiis ut magnus est Pastor :
Noster Rex beatos superat alios,
Faciens quæcunque animo sagaci volutat
Cœlo stellato, et in terra multos pascente,
Imis in profundis et in omnibus maribus.
Imbriparas nubes ab extrema terra in altum ele- [ vans,
Pluviam in æthere fulgura signa posuit.
Ipse Rex de cellis ventorum produxit vim :
Omnem primogenitorum domuit Nili sobolem,
Una etiam quadrupedum greges cum hominibus [ interficiens,
Terræ Ægyptiacæ media admirabilia infinita fa- [ ciens :
Cognovit ictus Pharao, servi vero ipsius non effu- [ gerunt noxam.
Ipse hostium interfecit infinitas gentes.
Forte reges præpotenter occidens,
Fortissimum Seonem Amorrhæorum regem,
Ogumque robustum validæ Basani regem,
Regnaque cætera Chanaam filiorum occisoris.
Eorum vero utique terram capiens, suis divisit [ sortem,
Sortem suo famulo ut oportet Israeli.
Nomen Domini semper immortale sit,
De sæculo in sæculum Dei memoriale bonum :
Quoniam sane suum Rex populum judicabit,
Pro amicis servis medelam solatium habens.

A Ἀρῶνος γεραροῖο γενειάδα πᾶσαν ἐφέρπον·
Ἐκ δέ οἱ ἀνθερεῶνος ἐπιτρέχον ἔσχατα πέπλου.
Ὡς δρόσος αἰθερίη πολυανθέος Ἀερμῶνος,
Οὔρεσιν ἀνθοκόμοισιν ὑπὲρ Σιῶνος ἰοῦσα.
Εὐλογίην ὅθι πᾶσαν ἑὴν ἐπετείλατο Ποιμὴν,
Νωλεμέως βιότοιο διαμπερὲς ἔμμεναι ἄλκαρ.

## ΨΑΛΜΟΣ ΡΛΓ'.

Ἐκτρισκαιδεκάτης δεκάδος τρίτατος πέλει ὕμνος.

Δμῶες πάντες Ἄνακτος, ἀείσατε Ποιμένα κόσμου,
Ἱστάμενοι Βασιλῆος ἐρισθενέος κατὰ δῶμα,
Οἴκων οἳ μεθέπουσι Θεοῦ εὐερκέας αὐλάς·
Πάννυχοι εἰν Ἁγίοιο δόμοις ἀναείρατε χεῖρας,
Καὶ μεγαλοσθενέτην ἀναμέλψατε Παμβασιλῆα.
B Δοίη τοι βασιλεὺς Σιωνόθεν αἶνον ἑτοῖμον,
Ὅς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε.

## ΨΑΛΜΟΣ ΡΛΔ'.

Αἰὲν ἀγακλῆεν περὶ τέτρατον ὕμνον ὁδεύει,
Τῇ τρικαιδεκάτῃ δεκάδι μέλος ἀλληλούϊα.
Οὔνομα τιμῆεν κελαδήσατε Παμβασιλῆος·
Οὔνομα τιμῆεν τιμήεντα σοφοὶ ἀναμέλψατε παῖδες,
Ἱστάμενοι Βασιλῆος ἐρισθενέος κατὰ δῶμα,
Οἵ τε Θεοῦ μεθέπουσι δόμων εὐερκέας αὐλάς.
Μέλψατέ μοι Βασιλῆα, ἐπεὶ Θεὸς ἐσθλὸς ἐτύχθη·
Οὔνομά οἱ φορμίζετ', ἐπεὶ τόδε καλὸν ἀείδειν.
Οὕνεκ' Ἰάκωβον πινυτὸν προελέξατο Ποιμὴν,
Καὶ κτῆσιν σφετέρην ἔθετο κλυτὸν Ἰσραῆλον.
Οἶδα φίλης πραπίδεσσιν ὅπως μέγας ἔπλετο Ποιμήν.
Ἡμέτερος Βασιλεὺς μακάρων περιγίγνεται ἄλλων,
C Τεύχων ὁππόσα θυμῷ ἀριστοπόνῳ μενεαίνει
Οὐρανῷ ἀστερόεντι, καὶ ἐν χθονὶ πουλυβοτείρῃ,
Πυθμέσιν ἐν βυθίοισι καὶ ἐν πάσῃσι θαλάσσης.
Ὀμβροτόκους νεφέλας πυράτης χθονὸς ὕψοσ' ἀείρων.
Ὑετὸν αἰθέρι ἀστεροπὰς σημήια θῆκεν.
Αὐτὸς Ἄναξ ταμίων ἀνεμοδρόμον ἐξάγεν ἀλκήν.
Πᾶσαν πρωτοτόκων δάμασεν Νείλοιο γενέθλην,
Σὺν καὶ τετραπόδων ἀγέλας μερόπεσσιν ἐναίρων,
Γαίης Αἰγυπτίης μέσα θέσκελα μυρία τεύχων·
Οἶδε παθὼν Φαραὼ, δμῶες δὲ οἱ οὐ φύγον ἄτην.
Αὐτὸς δυσμενέων κατενείρατο μυρία φῦλα,
D Ἰφθίμους βασιλῆας ὑπερμενέως ἐναρίζων,
Κάρτιστον Σηῶνα Ἀμοῤῥαίων βασιλῆα,
Ὠγόν τε σθεναρὸν βριαρῆς Βασάνου ἄνακτα,
Κοιρανίας θ' ἑτέρας Χαναάμου παιδοφονῆος.
Τῶν δ' ἄρα γαῖαν ἑλὼν, σφετέροις διεδάσσατο κλῆ- [ρον,
Κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραήλῳ.
Οὔνομα Παμβασιλῆος ἀεὶ παναγήραον ἔστω,
Ἐκ γενεῆς γενεήνδε Θεοῦ μνημήιον ἐσθλόν·
Οὕνεκα δὴ σφετέροισιν Ἄναξ λαοῖσι δικάσοι (19).
Ἀμφὶ φίλοις δμώεσσιν ἄκος παραμύθιον ἴσχων.

(19) Δικάσοι. Lege, δικάσει. Edit.

Εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,
Ἀνδρομέων ἀλαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·
Οἷς οὐ φθόγγος ἔπεστι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη·
Οὐδὲ φάος φορέουσι περὶ ξεστῇσιν ὀπωπῇς·
Οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀΐουσιν αὐτῆς·
Οὐδ' ἱερὴ ῥίνεσσιν ἐπέρχεται ἠέρος ὀδμή.
Οὐ σθένος ἀμφαφάωντι, καὶ εἰ χείρεσσι κέκασθεν·
Οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·
Οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσσασθαι
Οὐ γὰρ δή σφισι πνεῦμα διὰ στόματος προβαλέσθαι.
Τέκτονες εἰδώλοισι γενοίατο οἷσιν ὁμοῖοι,
Καὶ πάντες τοὶ τοῖσι νόῳ περιθαρσέες εἰσί.
Μέλψατέ μοι Βασιλῆα, σοφοῦ δόμος Ἰσραήλου·
Πᾶς δόμος Ἀρῶνος, κελαδήσατε Παμβασιλῆα·
Λευΐδα κλυτὸς οἶκος, ἀείσατε Ποιμένα κόσμου·
Οἷς φρεσὶ δεῖμα Θεοῖο μέλει, κελαδήσατ' Ἄνακτα.

Αἰνετὸς ἐκ Σιῶνος Ἄναξ πανυπέρτατος ἔσται,
Ἀμφ' Ἱερουσαλῆ θεοτερπέα δώματα ναίων.

A Simulacra aurumque et argentum sunt populorum,
Humanarum infirma doctarum artificis manuum.
Quibus non sonus inest, etiamsi os eis sit,
Neque lumen ferunt in politis oculis,
Aures solum habent, et non audiunt vocem,
Neque sacer naribus advenit aeris odor.
Non robur palpanti etiamsi manibus ornentur,
Non pedibus alma in terra vestigium firmare,
Neque de gutture vocem emittere ;
Non enim utique ipsis spiritum per os proferre.
Fabri simulacris fiant suis similes,
Et omnes qui his animo fidentes sunt.
Canite mihi Regem, sapientis domus Israelis :
Universa domus Aaronis, resonate Dominum :
Levi inclyta domus, canite Pastorem mundi :
B Quibus animis timor Dei curæ est, resonate Regem.

Laudabilis ex Sione Rex supremus erit,
In Hierusalem Deo gratas domos habitans.

## ΨΑΛΜΟΣ ΡΛΕ'.

Τῇ τρισκαιδεκάτῃ δεκάδι κλυτὸν ἀλληλούϊα,
Ἡδύ τι καὶ λιγυρὸν πέμπτον ἄεισμα πέλει.
Λαοὶ, μειλιχίην ἀναμέλψατε Παμβασιλῆος.
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ἀθάνατον μακάρων ἀναμέλψατε Παμβασιλῆα,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Μέλψατέ μοι Βασιλῆα μεγασθενέτην βασιλήων,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὃς μοῦνος δεδάηκεν ἀθέσφατα θαύματα τεύχειν,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Οὐρανὸν ἀστερόεντα σοφῇ τεχνήσατο βουλῇ,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Γαῖαν ἐπεστήριξεν ἐφ' ὕδασιν οὐ πρὶν ἐοῦσαν,

Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὃς σθεναροὺς φωστῆρας ἑῷ τεχνήσατο μύθῳ,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ἠέλιον φαέθοντα καλῆς ἐπιήρανον ἠοῦς,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Τείρεα καὶ μήνην νυχίων βασίλειαν ἀταρπῶν,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Πρωτοτόκων Αἰγύπτου ὁμῶς ἐδάμασσε γενέθλην,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Τῶν δ' ἐκ μέσσων ἑλὼν ἐξήγαγεν Ἰσραῆλον,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Θαρσαλέῃ μάλα χειρὶ, βραχίονι πάντα πεποιθὼς,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ἄνδιχα ῥηξάμενος Ἐρυθραῖον πολλάκι πόντον,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Τοῦδε μέσον στείχοντα διήγαγεν Ἰσραῆλον,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὅς τ' Ἐρυθρῷ Φαραῶνα βίην θ' ἑὴν κάκτανε πόντῳ,

Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Καὶ γαίῃ ἀβάτῳ γε διήγαγεν Ἰσραῆλον,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὃς μεγάλους βασιλῆας ὑπερμενέως ἐνάριξεν,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ῥηϊδίως δ' ἀλάπαξεν ὑπερκύδαντας ἄνακτας,

## PSALMUS CXXXV.

*Tricesimæ decadi gloriosum alleluia.*
*Jucundum quid et sonorum quintum carmen est.*
Populi, benignitatem celebrate Domini,
Quoniam perpetuo suam misericordiam auget.
Immortalem beatorum celebrate Dominum,
Quoniam perpetuo suam misericordiam auget.
Celebrate mihi Regem præpotentem regum,
Quoniam perpetuo suam misericordiam auget.
Qui solus novit stupenda miracula patrare,
Quoniam perpetuo suam misericordiam auget
Cœlum stellatum sapienti fabricavit consilio,
C Quoniam perpetuo suam misericordiam auget.
Terram firmavit super aquas non antea exsistentem,

Quoniam perpetuo suam misericordiam auget.
Qui valida luminaria suo fabricavit verbo,
Quoniam perpetuo suam misericordiam auget.
Solem lucidum pulchræ gratum auroræ,
Quoniam perpetuo suam misericordiam auget.
Stellas et lunam nocturnarum reginam viarum,
Quoniam perpetuo suam misericordiam auget.
Primogenitorum Ægypti similiter domuit sobolem,
Quoniam perpetuo suam misericordiam auget.
His de mediis capiens eduxit Israelem,
Quoniam perpetuo suam misericordiam auget.
Fidenti valde manu, brachio omnia confisus,
D Quoniam perpetuo suam misericordiam auget.
Bifariam perrumpens Rubrum sæpius mare,
Quoniam perpetuo suam misericordiam auget.
Hujus medium ambulantem eduxit Israelem,
Quoniam perpetuo suam misericordiam auget.
Quique Rubro Pharaonem roburque suum fregit mari,

Quoniam perpetuo suam misericordiam auget.
Et terra invia transduxit Israelem,
Qnoniam perpetuo suam misericordiam auget.
Qui magnos reges potenter interfecit,
Quoniam perpetuo suam misericordiam tuget.
Facile vero populatus est superbos reges,

Quoniam perpetuo suam misericordiam auget.
Eximium Seonem Amorrhæorum regem,
Quoniam perpetuo suam misericordiam auget.
Ogumque fortem valieæ Basani regem,
Quoniam perpetuo suam misericordiam auget.
Horum vero utique terram capiens, suis divisit [sortem,
Quoniam perpetuo suam misericordiam auget.
Sortem suo famulo opportune Israelem,
Quoniam perpetuo suam misericordiam auget.
Quia oppressorum nostri memor fuit Pastor,
Quoniam perpetuo suam misericordiam auget.
De autem truculentis hostibus liberavit populum,
Quoniam perpetuo suam misericordiam auget.
Qui omnibus escam quos condidit solus præbet,
Quoniam perpetuo suam misericordiam auget.
Celebrate mihi Regem magnum cœli stellati,
Quoniam perpetuo suam misericordiam auget.

PSALMUS CXXXVI.

*De tricesima decade docti Davidis*
*Carmen lamentationum de Hieremia, quod sex-[tum est,*
*De Hierusalem, Babylonia venit ubi aqua.*

Flevimus sedentes flumina Babylonis super,
Memores Sionis præcellentisque tutelæ.
In medio fluminum super frugibus perniciosa salice
Nostræ citharæ suspensæ erant canoræ.
Illic interrogantes prædones dixerunt viri,
Nos quique everterunt, canere sibi hymnum :
De carminibus Sionis gloriosæ dicite cantum.
Divinum in aliena quomodo quidem carmen est [canere ?
Si, o Hierusalem chara, tui oblitus fuero,
Nostra obliviscatur chara dextera manus :
Durescens in gutture mea arescat lingua,
Si non tui ex animo semper memor sim,
Ut Hierusalem et lætitiam proposuero.
Et tu, Beate, filiorum obliviscaris nunquam Edom,
Beatum diem habere Hierosolymæ pretiosæ,
Horum aliquando dicentium : Vacua, vacua quæ-[piam pereat,
Neque adhuc ei parcatis donec adhuc radices habeat
O filia Babylonis, semper misera sis :
Beatus qui superiorem tibi violentiam reddet vir,
Qui petram super accedens tuos parvulos allidet.

PSALMUS CXXXVII.

*Commune Zachariæ Aggæi hoc carmen*
*Ad decimam tertiam decadem argutum septimum [est.*

Indesinenti corde, Rex, tuam laudem canam,
Quoniam omnifaria verba audisti mea.
Coram, Beate, celebrabo te cœlestibus copiis :
Immaculatum tuum templum diligenter orabo,
Studio Domini purum nomen cantabo,
Tuamque misericordiam, et verax consilium,
Nomen quoniam in omnia dominatur tuum omni-[bus imperans.
Exaudi me vocantem quando debitum est precari :
Animæ nostræ sufficiens tempus suppedites.

A Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ἀντίθεον Σηῶνα Ἀμοῤῥαίων βασιλῆα,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὠγόν τε σθεναρὸν βριαρῆς Βασάνοιο ἄνακτα.
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Τῶν δ' ἄρα γαῖαν ἑλὼν, σφετέροις διεδέσσατο κλῆρον,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραῆλον,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Εἵνεκα τειρομένων ἡμῶν ἐμνήσατο Ποιμὴν,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ἐκ δ' ἄρα ῥιγεδανῶν δηίων ἀπελύσατο λαὸν,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Ὃς πᾶσιν θαλίην οἷς ἔκτισε μοῦνος ὀπάζει,
B Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.
Μέλψατέ μοι Βασιλῆα μεγαν πόλου ἀστερόεντος,
Οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.

ΨΑΛΜΟΣ ΡΛϚ'.

Δαυΐδου τρισκαιδεκάτης δεκάδος πινυτοῖο
Ἆσμα γόων ἀμφ' Ἱερεμίου, τόπερ ἕκτον ἐτύχθη,
Ἀμ' Ἱερουσαλῆς, Βαβυλώνιον ἦλθεν δθ' ὕδωρ.

Κλαύσαμεν ἑζόμενοι ποταμῶν βαβυλῶνος ὕπερθεν
Μνησάμενοι Σιῶνος, ἀριπρεπέος τ' ἀλεωρῆς.
Μεσσόθι γὰρ ποταμῶν ὑπὲρ ὀλεσίκαρπον ἰτέαν
Ἡμέτεραι φόρμιγγες ἀπηώρηντο λιγεῖαι.
Κεῖσε ἀνειρόμενοι ληΐστορες ἔννεπον ἄνδρες,
Ἡμέας οἵ τε ἔπερσαν, ἀειδέμεναί σφισιν ὕμνον·
Ἐκ μελέων Σιῶνος ἀγακλέος εἴπατε μολπήν.
C Θεῖον ἐν ἀλλοδαπῇ πῶς μὲν μέλος ἔστιν ἀεῖσαι ;

Αἴχ' Ἱερουσαλὴμ πολυήρατε, σεῖο λαθοίμην,
Ἡμετέρη λελάθοιτο φίλη κατὰ δεξιτερὴ χείρ·
Πηγνυμένη περὶ λαιμὸν ἐμὴ κάρφοιτό κε γλῶσσα,
Εἰ μή σευ κατὰ θυμὸν ἀεὶ μεμνημένος εἴην,
Ὡς Ἱερουσαλὴμ καὶ εὐφροσύνην προβαλοίμην.
Καὶ σὺ, Μάκαρ, τεκέων ἐπιλήθεο μήποτ' Ἐδώμου
Ὄλβιον ἦμαρ ἔχειν Ἱερουσαλῆς ἐριτίμου,
Τῶν ποτε βαζόντων· Κενεὴ, κενεή τις ὄλοιτο,

Μηδ' ἔτι οἱ φείδεσθε, ἕως ἔτι πυθμένας ἴσχει.
Ὦ θύγατερ Βαβυλῶνος, ἀεὶ περικάμμορος εἴης·
Ὄλβιος ὃς προτέρης σε βίης ἀποτίσεται ἀνὴρ,
Ὃς πέτρης ὑπένερθε μολὼν σεο νήπια ῥήξει.

ΨΑΛΜΟΣ ΡΛΖ'.

D Ξυνὸν Ζαχαρίου Ἀγγαίου τόδ' ἄεισμα
Πρὸς τρισκαιδεκάτῃ δεκάδι λιγὺ ἕβδομον ἔννι.

Ἀλήκτῳ κραδίῃ, Βασιλεῦ, τεὸν αἶνον ἀείσω,
Οὕνεκα παντοίων ἐπέων ἤκουσας ἐμεῖο.
Ἄντα, Μάκαρ, μέλψω σε θεοδμήτων στρατιάων·
Ἀχραντόν σεο νηὸν ἐπεσσυμένως λιτανεύσω,
Σπουδῇ Παμβασιλῆος ἀκήρατον οὔνομα μέλψω,
Σήν τ' ἐλεημοσύνην καὶ ἀληθέα πάντοτε βουλὴν,
Οὔνομ' ἐπεὶ πάντων κραέει σέο πᾶσιν ἀνάσσον.

Κέκλυνί μευ καλέοντος, ὅτε χρέος ἐστὶ λιτέσθαι
Ψυχῇ νοιτέρῃ ζωαρκέα καιρὸν ὀπάζοις.

Ἀθάνατον βασιλῆες ὅλης χθονὸς ἀείδοιεν,
Οὕνεκα παντοίων σέθεν ἔκλυον οὔασι μύθων.
Θεσπεσίοις μελέεσσιν ἀνυμνήσουσι Θεοῖο,
Οὕνεκα δὴ χθόνα κῦδος ἀεὶ νεφέεσσι καλύπτει·
Αἰὲν Ἄναξ ὕψιστος, ἀτὰρ χθαμαλώτατα λεύσσει·
Ἴδμων δ' ὑψίστων πελεται, καὶ τῆλε δεδορκώς.
Ζωγρήσεις ὀλοῇ με μέσον δεδμημένον ἄτῃ.
Χεῖρας δυσμενέεσσιν ἐμοῖς θώρηξε χολωθείς,
Δεξιτερὴ δέ με σεῖο κακῶν ἀπελύσατο μόχθων.
Ἀντ' ἐμέθεν δηίοισιν ἀκερδέα μισθὸν ὀπάζοις·
Νωλεμεως ἐλεητὺν ὑπὸ στερνοισι φυλάσσοις·
Μηδε τεῆς, Βασιλεῦ, παλάμης ὑπερόψεο ἔργα.

ΨΑΛΜΟΣ ΡΛΗ'.

Ἀμφὶ διασπορέης λιγυρὸν μέλος ἦσε Δαυΐδος
Ὄγδοον ἀμφ' ἑκατοστῷ ἐτύχθη καὶ τριακοστῷ.
Αὐτός, Ἄναξ, ἐδάης με, καὶ ἐξιχνεύσαο λίην,
Οὐδέ σε ἑζόμενός τε καὶ ἐγρόμενός ποτε λήθω.
Νόσφιν ἐμὰς ξυνέηκας ὑπὸ στέρνοισι μενοινάς,

Ἴχνος ἀνιχνεύων καὶ ἐμὴν ἰθεῖαν ἀταρπόν·
Οὐδὲ τεοῖς ὄσσοις τις ἐμῶν προλέλαστο κελεύθων·
Οὐδέπω ἐκ γλώσσης προχέειν ἀθεμίστιον ἔγνων.
Αὐτὸς ἔφυς πυμάτων τε παλαιγενέων τε δαήμων,
Καί με διαπλάσσας ὑπεθήκαο χεῖρα καρήνῳ.
Θαῦμά μ' ἔχει ὅτε σεῖο περιφράσομαι φρεσὶ μῆτιν,

Οὐδὲ νόῳ δύναμαι κρατερώτατα πολλὸν ὁρᾶσθαι.
Πνεύματος οὐκ ἄρα σεῖο μέγα κράτος εἶεν ἀλύξαι

Οὐδὲ τεῆς ἀπάνευθε κατακρύπτεσθαι ὀπωπῆς.
Οὐρανὸν αἴκε μόλοιμι, τεὸς τρόνος οὗτος ἐτύχθη.
Ἢν ἀΐδηνδ' ἔλθοιμι, καὶ ἐν νεκύεσσιν ἀνάσσεις·

Ἢν δὲ καὶ ἰθυπόρους πτέρυγας ἀνέμοισι πετάσσω,
Αὐλισθῶ νεάτοισι πολυσμαράγοιο θαλάσσης·
Ἔνθα κε σῆς παλάμης δευήσομαι ἡγεμονῆος,
Καί σεο δεξιτερῆς, ἵνα μοι βίος ἔμπεδος εἴη.
Εἶπα δε· Μή τάχα με στείψει φθισίμβροτος ὄρφνη,

Νύκτα δὲ καίνυτο τέρψις, ἀτὰρ κνέφας ἤλασε φέγ-
[γος.
Ὄρφνην γὰρ δεδάηκε τεὸν φάος ἀμφικαλύπτειν,
Καὶ νύκτα δνοφερὴν τελέει φαεσίμβροτον ἦμαρ·
Οὔτις ἂν ἀγνοίη ποῖον κνέφας ἢ φάος εἴη.
Οὕνεκεν ἡμετέρους, Βασιλεῦ, ἐκτήσαο νεφρούς·
Ἄλκαρ ἐμόν, Μάκαρ, ἐσσὶ φίλης ἐν γαστρὶ τεκούσης,
Ἐκπάγλως θηητὸν ἐμὸν Βασιλῆα βοήσω·
Θυμὸς ἐμὸς σετεν ἔργα, Μάκαρ, περιθαμβέ' ἀνέγνω.
Γινώσκεις ἐμεθεν τάπερ ἔπλασας ὀστεα λάθρῃ,
Καί μευ νερτερίοις βιότου στενος ἐστὶ θεμέθλοις.
Εἶδες, Ἄναξ, μ' ἀτελεστον ἔτι ἐνὶ γαστρὶ τεκούσης,
Δαιδάλλων ἅμα πάντας ἐπ' ἀχράντῳ σεο βίβλῳ·
Οὐδε τις ἀμφαδίην τεκταινομενοισι παρείη.
Αὐτὰρ ἐμοὶ περὶ ἄλλα φίλοι σετεν εἰσὶν ἀγητοί·
Ἀρχομενων δὲ μάλιστα βίη καταφαίνετ' ἀμείνων·
Ψάμμον ἀριθμήσαιμι πολὺ πλεον ἤπερ ἐκείνους.
Ἐγρόμενος μετὰ σεῖο διηνεκεως ἔτι μίμνω.
Αἴκε κατακτείνειας ἀτασθαλίης θεράποντας,
Φευγέμεν ἀνδροφόνοισιν ἐμὸν μένος αἶψα κελεύω.
Ἀλλ' ἐρεεις, κενεὰς ὅτι μευ περσουσι πόληας,

A Immortalem reges totius terræ celebrent :
Quia omnifarios tuos audierunt auribus sermones.
Divinis carminibus celebrabunt Deum,
Quoniam utique terram gloria semper nubibus tegit:
Semper Rex altissimus, at humillima respicit :
Peritus vero altissimorum est, et longe prospiciens.
Vivificabis perniciosa me medium vinctum noxa.
Manus inimicis meis armasti iratus,
Dextera vero me tua malis liberavit laboribus.
Pro me hostibus damnosam mercedem tribuas :
Perpetuo misericordiam in pectoribus custodias :
Neque tuæ, Rex, manus despicias opera.

PSALMUS CXXXVIII.

*In dispersione stridulum carmen cecinit David,*
*Octavum supra centesimum est et tricesimum.*
B Ipse, Rex, cognovisti me, et probasti nimis,
Neque te sedensque et surgens aliquando lateo.
De longe meas intellexisti in pectoribus cogitatio-
(nes,
Vestigium investigans et meam rectam viam :
Neque tuos oculos aliqua mearum latuit viarum :
Neque de lingua fundere iniquum scivi,
Ipse es ultimorumque antiquorumque peritus,
Et me fingens supposuisti manum capiti.
Miraculum me habet quando tuum perpendo ani-
(mis consilium,
Neque mente possum validissima multum videre.
Spiritum non utique tuum ingens robur fuerit ef-
(fugere,
Neque tuo seorsim abscondi vultu.
Cœlum si conscendam, tuus thronus illud est :
C Si in infernum descendam, etiam inter mortuos im-
(peras:
Si vero etiam rectigradas alas ventis extendero,
Habitavero in extremis streperi maris :
Ibi tua manu indigebo duce,
Et tua dextera, ut mihi vita firma sit.
Dixi vero : Ne forsan me conculcet hominum cor-
(ruptrix caligo :
Noctem vero superabat lætitia, at tenebræ expule-
(runt lumen.
Caliginem enim novit tuum lumen circumtegere,
Et noctem caliginosam facit lucidum diem :
Nullus ignoret quale crepusculum aut lumen fuerit.
Quia nostros, Rex, possedisti renes :
Tutamen meum, Beate, es charæ ab utero matris,
D Eximie admirabilem meum Regem clamabo :
Anima mea tua opera, Beate, stupenda cognovit.
Cognoscis mea quæ finxisti ossa in occulto.
Et meum profundis vitæ robur est fundamentis.
Videbas, Rex, me imperfectum adhuc in utero matris,
Ornans simul omnes in puro tuo libro :
Neque aliquis palam conditis aderit.
Cæterum mihi in cæteris amici tui sunt admirabiles:
Subditorum vero maxime vis apparet præstantior.
Arenam dinumerarem multo magis quam illos :
Resurgens tecum perpetuo adhuc maneo.
Si occideris impietatis famulos,
Fugere homicidis meum robur statim jubeo.
Sed dices, vacuas quod meas evertent civitates,

Si non osores oderam Regis,
Super inimicos vero meus tabescebat animus,
Odio omnes ego perfectissimo oderam,
Et mihi inimici corde et infensi erant.
Verum accurate meam mentem probes :
Vestigia vero inevitabilibus explores probationibus.
Inspice autem, si non omnino malorum nescius sim,
Ut me ducas perpetuis viis.

## PSALMUS CXXXIX.

*Etiam hoc Davidis canorum carmen est cantionis,*
*De decima tertia nonum rursus decade.*

Utinam, Beate, malitia ab humana me serves,
Virum vero effugere iniquum nobis auxilium feras.
Qui suis injusta cum animis cogitaverunt,
Tota die vero perniciosos parabant tumultus.
Linguam suam serpentibus venenatis acuebant si- (milem,
Aspidis homicidæ in labiis venenum capientes.
Utinam server odiosa de manu sceleratorum :
Viris ab iniquis me, Beatissime, facile serves.
Vestigia turbare qui mea animis cogitabant :
Latentes mihi defixerunt superbi laqueos viri :
Funes vero extenderunt mei in retia pedis :
Posuerunt vero obliquantes in viis dolosis.
Dixi Deo regi : Deus, tu mea spes es,
Deprecationem exaudi meam, summe Pastor.
Æternus es, Beate, vitæ vero mihi es lumen,
Auxilium mihi capitis opacum in conflictu.
Ne dissipans desiderium nobis, tradas ludibrium (iniquis :
Ne me, Beate, deseras sui prædam desiderii,
Ne forte victores insolentiis insaniant.
In circuitu sub suum caput malignus orbis,
Et labiorum perniciosorum labor ipsos operiet.
Carbones indefessi ignis super eos cadant :
Ex alto properante dejicias eos in terram igne :
Nunquam sufficient malis vincti cor.
Virum linguosum dejiciat malignum tempus :
Capiet vero injustus suo malos dolores animo.
Judicium immotum Rex pauperibus faciet,
Et justitiam inopum præteribit nunquam vultibus.
Verumtamen sancta te mortalium canet generatio:
Recti rursum Regis simul habitent cum vultu.

## PSALMUS CXL.

*Hymnum gloriosum amica cithara modulatur*
*David decimæ et quartæ decadis.*

Nostras clamantis, Rex, exaudi preces,
Supplicationi præbeas meæ facilem aurem,
Quando, Beate, vocavero tuam adjutricem manum.
Coram te orationem meam sicut incensum dirigas.
Vespertino autem similis sacrificio manus attollo.
Da circa nostros custodiam et septum dentes :
Labiis vero firmos portarum extendas vectes.
Animum avertas meum a verbis iniquis,
Neque mihi peccati excusatio in voluntatibus cor- (disit,

A Εἰ μὴ ἀπεχθαίροντας ἀπεχθαίρεσκον Ἄνακτα,
Τοῖς δ' ἐπὶ δυσμενέεσσιν ἐμὸς κατετήκετο θυμός.
Ἔχθεϊ πάντας ἔγωγε τελειοτάτῳ στυγέεσκον,
Καί μοι δυσμενέες κραδίῃ καὶ ἀνάρσιοι ἦσαν.
Ἀλλὰ περιφραδέως τὸν ἐμὸν νόον ἐξερεείνοις·
Ἴχνια δ' ἀλύκτοισι διοπτεύσειας ἐλέγχοις
Δέρκεο δ', εἰ μὴ πάγχυ κακῶν ἀδάητος ἐτύχθην,
Ὄφρα με ἡγήσαιο διηνεκέεσσι κελεύθοις.

## ΨΑΛΜΟΣ ΡΛΘ'.

Καὶ τόδε Δαυΐδου λιγυρὸν μέλος ἔπλετ' ἀοιδῆς.
Ἐκ τρισκαιδεκάτης εἴνατον αὖ δεκάδος.

Αἴθε, Μάκαρ, κακότητος ἀπ' ἀνδρομέου με σαώσοις,
Ἄνδρα δ' ὑπεκφυγέειν ἀθεμίστιον ἄμμιν ἀλάλκοις.
Οἳ σφετέρῃς ἀθέμιστα μετὰ φρεσὶ μερμήριξαν,
Ἠμάτιοι δ' ὀλοοὺς μοι ἐθωρήσσοντο κυδοιμούς.
B Γλῶσσαν ἑὴν ὀφίεσσι κακοῖς θήγεσκον ὁμοίην,
Ἀσπίδος ἀνδροφόνου περὶ χείλεσιν ἰὸν ἑλόντες.
Εἴθε φυλασσοίμην στυγερῆς ἀπὸ χειρὸς ἀλιτρῶν·
Ἀνδρῶν ἐξ ἀδίκων με, Μακάρτατε, ῥεῖα σαώσοις.
Ἴχνια συγχεύειν οἵ μευ φρεσὶν ὁρμαίνεσκον·
Λάθριά μοι κατέπηξαν ὑπερφίαλοι λίνα φῶτες
Μηρίνθους δ' ἐτάνυσαν ἐμῆς περὶ δίκτυα πέζης·
Θέντο δὲ δοχμήσαντες ἐπ' οἴμοισιν δολεροῖσιν.
Εἶπα Θεῷ βασιλῆι· Θεός, σύ μευ ἐλπὶς ἐτύχθης
Ἱκεσίης ἐπάκουσον ἐμῆς, πανυπέρτατε Ποιμήν.
Ἄφθιτός ἐσσι, Μάκαρ, βιότου δέ μοι ἔπλεο φέγγος,
Ἄλκαρ ἐμῆς κεφαλῆς σκιόεν κατὰ δηιοτῆτα.
Μὴ κεδάσας πόθον ἄμμι, πόροις μέλπηθρον ἀθε- [σμοις·
C Μή με, Μάκαρ, προλίποις σφετέρης ἅρπαγμα με- [νοινῆς,
Μήποτε νικήσαντες ἀγηνορίῃσι μανεῖεν.
Κύκλῳ ὑπὸ σφετέρης κεφαλῆς κακομήχανος ἄντυξ.
Καὶ χειλέων ὀλοῶν κάματός σφεας ἀμφικαλύψει.
Ἄνθρακες ἀκαμάτοιο πυρὸς μετὰ τοῖσι πέσοιεν·
Ὑψόθεν ἐσσυμένῳ καθέλοις σφέας ἐς χθόνα πυρσῷ·
Οὐδέ ποτ' ἀρκέσσουσι κακοῖς δεδμημένοι ἦτορ.
Ἀνέρα λαυραγόρην καθέλοι κακομήχανος ὥρη·
Ἀγρεύσει δ' ἀθέμιστος ἑῷ κατὰ κήδεα θυμῷ.
Εὐδικίην ἀδόνητον Ἄναξ πτωχοῖσι τελέσσοι,
Καὶ θέμιν ἀκτεάνων παρελεύσεται οὔποτ' ὀπωπαῖς.
Ἔμπα γε μὴν ὁσίη σε βροτῶν μέλψειε γενέθλη·
Εὐθέες αὖ Βασιλῆος ὁμοῦ ναίοιεν ὀπωπῆς.

## ΨΑΛΜΟΣ ΡΜ'.

Ὕμνον ἀγακλήεντα φίλῃ φόρμιγγι λιγαίνει
D Δαυΐδος δεκάτης καὶ τετράτης δεκάδος.

Ἡμετέρων βοόωντος, Ἄναξ, ὑπάκουε λιτάων·
Ἱκεσίης τανύσειας ἐμῆς ἀριήκοον οὖας,
Εὖτε, Μάκαρ, καλέσαιμι τεὴν ἐπαρηγόνα χεῖρα.
Ἄντα σευ εὐχολήν μευ ὅπως θύος ἰθύνειας.
Ἑσπερίῃ δ' ἴκελος (20) θυσίῃ παλάμας ἀναείρω.
Δὸς περὶ νωιτέροις φυλακὴν καὶ ἕρκος ὀδοῦσι·
Χείλεσι δ' ἀσφαλέας πυλέων πετάσειας ὀχῆας.
Θυμὸν ἀποκλίνειας ἐμὸν μύθων ἀθεμίστων,
Μηδέ μοι ἀμπλακίης πρόφασις βουλῇσι μελήσει,

(20) Ἴκελος. Forte, ἰκέλοος. Edit.

Ἀνδράσι δυσνομίης κακοεργέος εἰς ἓν ἰόντι·
Τῶν δὲ μετὰ πρώτοις μηδ' εἰς ἀγορῆσι (21) φανείην.
Δμηθείην δ' ὁσίων ἐλεημοσύνῃ καὶ ἐλέγχοις·
Μηδ' ἔτι αἰνοίμην ὀλοῷ κάρη ἀνδρὸς ἐλαίῳ.
Εἰς ἔτι νωιτέρη σφετέροις περὶ μήδεσιν εὐχή.
Τῶν μὲν ἀμαλδύνοιντο δικασπόλοι ἐγγύθι πέτρης
Θαρσαλέοι μύθων σθεναρῶν ἀίοιεν ἐμεῖο,
Ῥιζόθεν οἷα λόφος τις ἀποτμηθεὶς ἐλιάσθη·
Ὀστέα τῶν ἀΐδαο παρασχεδὸν ὧδε κεάσθη.
Πρὸς σὲ, Μάκαρ, ποθέουσαν ἐμὴν τανύεσκον ὀπωπήν·
Μή μευ ἐπελπομένην κραδίην ἀπάνευθεν ἐλάσσῃς.
Ῥίμφα σάω δολερῶν με λίνων ὧν στῆσαν ἀλεῖται,
Ἔκ τε κακοῤῥαφίης ὀλοῶν κακότητος ἐρίθων.
Δίκτυον Ἀθανάτου ξυνέλοι κακότητος ἐρίθους·
Εὔκηλος καὶ μοῦνος ἐπισπεύδων παρελάσσω.

## ΨΑΛΜΟΣ ΡΜΑ'.

Δαυΐδος πινυτῆς ὁπότε σπέος ἀμφιπολεύων
Εὐχωλὴν ἀνέπεμψε Θεῷ βασιλῆι βοήσας.
Ἔμπα γε μὴν ἑκατοστὸν ὁμοῦ καὶ τεσσαρακοστὸν
Ἀμφὶ πολυκλήεντι πέλει μελεδήματι πρώτῳ.
Ἡμετέρην Βασιλῆι βοὴν ἀνέπεμψα βοήσας·
Φθεγξάμενος λιτόμην οἰκτίρμονα Ποιμένα κόσμου.
Ἱκεσίην προχέοιμι πρὸ Παμβασιλῆος ὀπωπῆς,
Καί οἱ ἀπαγγείλαιμι ἐμὸν πολυπήμονα μόχθον.
Πνεύματος ἀδρανίῃ περιπεπτηῶτος ἐμεῖο,
Ἴχνια θεσπεσίῃσι διοπτεύεσκες ὀπωπῆς.
Ἀμφὶ τρίβοις δολόεντα λίνα κρύπτεσκον ἐμῆσι.
Δεξιτερῆς σκοπίαζον ἐμῆς ὑπὲρ ὄσσε τιταίνων,
Οὐδέ τις ἄμμε φίλων ὠΐσατο πάμπαν ὁρᾶσθαι.
Φεύγειν ἰσχανόωντος ἐμὴ πάρος ὤλετο φύζα·
Οὐδ' ἦν ὅστε μοι ἦτορ ἀνιχνεύσειε φυγόντος.
Αὐτὰρ ἐγὼ βοόων ἐφάμην· Σύ μοι ἐλπὶς ἐτύχθης·
Ζωόντων ἀνὰ γαῖαν ἐμῆς, Μάκαρ, αἶσα βιώνης·
Ἱκεσίην σκοπίαζε· κατεδμήθην γὰρ ἀνίῃ.
Ἐκ κακομηχανίης ὀλοῆς δηίων με σαώσοις·
Οὕνεκα πολλὸν ἐμεῖο βίῃ προφερέστεροί εἰσιν.
Εἴθε μοι ἀπρήκτου φυλακῆς ἐξέλετο θυμόν·
Ὄφρα κεν οὔνομα σεῖο περιφραδέως ἀναμέλψω.
Ἐκ σέο μισθὸν ἐμὸν γενεαὶ μίμνουσι δικαίων.

## ΨΑΛΜΟΣ ΡΜΒ'.

Δαυΐδου κλυτὸς ὕμνος Ἀβεσσαλῶμος ἀμώμου,
Ὅττε μιν υἱὸς σφετέρης ἐξήλασε πέτρης.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστὸς,
Δεύτερον αἰγλήεντα λαχὼν συμφράδμονα κῶμον.
Εὐχῆς ἡμετέρης ἐπικέκλυθι, φέρτατε Ποιμήν·
Ἀτρεκέως καλέοντος ἐμῆς ὑπόδεικε λιτῆσιν·
Σεῖο δικαιοσύνῃ μευ, Ἄναξ, βοόωντος ἀκούσαις·
Μηδὲ δικαζομένῳ μοι ἐπαντιάσειας ἀγῶνος.

A Viris injustitiæ maleficæ in unum eunti.
Horum vero cum primis neque in plateis videar.
Domer autem sanctorum misericordia et correctionibus :
Neque porro lauder pernicioso caput viri oleo.
Adhuc nostra suis in deliberationibus oratio.
Eorum quidem marcescant judices prope petram.
Audentes verba valida audiant mea,
Radicitus velut collis aliquis avulsus discessit :
Ossa eorum infernum prope sic dissipata sunt.
Ad te, Beate, desiderantem meum extendebam vultum:
Ne meum sperans cor longe abjicias.
Cito serva dolosis me laqueis quos statuerunt improbi,
B Et a malignæ perniciosis iniquitatis operariis.
Rete Immortalis apprehendat iniquitatis operarios:
Placidus et solus festinans transibo.

## PSALMUS CXLI.

*David prudentiæ, quando speluncam oberrans*
*Orationem misit Deo regi clamans.*
*Verumtamen centesimus simul et quadrogesimus*
*Circa gloriosum est cantum primum.*
Nostram Regi vocem emisi clamans
Locutus precabar misericordem Pastorem mundi.
Orationem effundam ante Domini conspectum,
Et ei exposuerim meum damnosum laborem.
Spiritus imbecillitate contremiscente me,
Vestigia divinis explorabas vultibus.
C In semitis dolosos laqueos occultabant meis.
Dextera speculabar mea oculos extendens.
Neque aliquis nos amicorum putavit omnino videre.
Fugere cupientis mea antea periit fuga :
Neque erat qui mihi cor requirat fugientis.
Cæterum ego clamans dixi : Tu mihi spes es :
Viventium in terra meæ, Beate, portio vitæ :
Deprecationem respice : sum enim constrictus miseria.
A malignitate funesta hostium me serves :
Quia multum me vi præstantiores sunt.
Utinam mihi irrita custodia liberes animum :
Ut nomen tuum studiose canam.
De te mercedem meam generationes exspectant justorum·

D

## PSALMUS CXLII.

*Davidis gloriosus hymnus Abessalomus innocentis,*
*Quando eum filius ejus sua expulit petra,*
*Verumtamen centesimus est et quadragesimus*
*Secundum illustrem sortitus unanimem cantum.*
Orationem nostram exaudi, optime Pastor,
Vere invocantis meis concede precibus :
Tua justitia me, Rex, clamantem audias :
Neque in judicium vocato mihi occurras in contentione.

(21) Εἰς ἀγορῆσι. Lege, εἰν ἀγ. Edit.

Nullus enim mortalium sanctus te ante appareat.
Inimicus meum gementem persecutus estanimum
(agitans:
Terræ profundis meam subegit vitam,
Inertibus mortuis in tenebris æque sedere faciens:
Spiritus vero meus crebris difficultatibus compe-
(ditus est,
Succensens mœroribus cum mentibus animo com-
(movebar.
At ego superiorum ætatum memor temporis,
Opera mente resonui divina Domini :
Manuum vero facta divina studiose cantabam.
Manus meas Regi glorioso extendens.
Animus meus cupit te,velut sitibundæ sulci terræ.
Velociter me exaudias, membrorum priusquam
(spiritum exhalem.
Ne a me gloriosum avertas vultum,
Neque descendentibus similis in foveam appaream.
Tuam, Beate,ab aurora misericordiam utinam au-
(diam,
Quia spes immortalis nobis es.
Da mihi faustam viam, ubi debitum est ambulare,
Quia ad te animum semper expansum habeo.
Inimicorum de manu me, Beatissime, cito serves,
Turrim quoniam te firmam semper perterritus in-
(veni.
Ipse Rex meus es, mentem vero me tuam doceas :
Rectam vero bonus me ferat in terram Spiritus Dei.
Da mihi æquitatem vitæ nutricem propter te.
Animam meam suspirioso, Rex, labore serves,
Meos vero inimicos misericordiæ tuæ gratia perdas.
Omnes meæ domes,Rex, animæ perditores,
Quoniam tuus servus gratus glorior esse.

## PSALMUS CXLIII.

*Davidis inclytus hymnus adversus hostem Goliath,*
*Etiam tertius sapientia hos antea simul sequens.*
*Verumtamen centesimus est et quadragesimus.*

Faustis carminibus semper Deus laudabilis sit,
Qui manus armavit meas ad prælium,
Fecit vero nostrarum bellicosos digitos manuum.
Semper, Rex, misericordia mea et turris es,
Liberans malitia, superbosque propulsans,
Spes gloriosa, et sufficiens propugnator,
Populum meum manus sub nostras domans.
Quid homo est, Rex, quia ei manifeste adfuisti ?
Aut generatio humana, quia eam animis sic ho-
(noras ?
Homo inanibus simulacris similis est :
Dies vero instabilis ejus umbræ similes prætereunt.
Cœlum inclinans densum descendas, Pastor.
Tange montes, et fumum satis tenebrosum facies.
Splendores fulguris jaculans dissipes universos.
Emitte, Beate, sagittas tuas,ut animum conturbes.
Manum tuam mittas ex æthere, ut me serves,
Et me streperarum aquarum liberes impetu.
De manu externorum me, Beatissime, libera filio-
(rum,
Quorum os frustra vanos locutum est sermones,

A Οὔτις γὰρ μερόπων ὅσιος σέθεν ἄντα φανείη
Ἐχθρὸς ἐμὸν στονόεντα βιήσατο θυμὸν ἐλαύνων·
Γαίης νερτερίοισιν ἐμὴν ὑπέταξε βιώνην,
Ἀπρήκτοις νεκύεσσιν ὑπὸ κνέφας ἶσα καθίζων·
Πνεῦμα δ' ἐμὸν πυκινῇσιν ἀμηχανίῃσι πεδήθη.
Ἀσχαλόων ἀχέεσσι μετὰ φρεσὶ θυμὸν ὀρίνθην.
Αὐτὰρ ἐγὼ προτέρων γενεῶν μεμνημενος ὥρης,
Ἔργα νόῳ κελάδησα θεόσδοτα Παμβασιλῆος·
Χειρῶν δ' ἔργματα θεῖα περιφραδέως ἀνέμελπον,
Χεῖρας ἐμὰς Βασιλῆι πολυκλήεντι πετάσσας.
Θυμὸς ἐμὸς ποθέει σ', ἅτε διψάδος αὔλακες αἴης.
Αἶψά με εἰσαΐοις, μελέων πρὶν πνεῦμα μεθείω.
B
Μή μευ κυδιάνειραν ἀποστρέψειας ἐπωπὴν,
Μηδὲ κατερχομένοισιν ἶσος βόθρονδε φανείην.
Σῆς, Μάκαρ, ἐξ ἠοῦς ἐλεητύος εἴθε πυθοίμην,
Οὕνεκεν ἐλπωρὴ παναγήραος ἄμμιν ἐτύχθης.
Δός νύ μοι αἴσιον οἶμον, ὅπη χρέος ἐστὶν ὁδεύειν,
Οὕνεκεν ἀμφὶ σὲ θυμὸν ἀεὶ πεπετασμένον ἴσχω.
Ἀντιβίων παλάμης με, Μακάρτατε, ῥίμφα σαώσοις,
Πύργον ἐπεί σ' ἄῤῥηκτον ἀεὶ πεφοβημένος εὗρον.
Αὐτὸς Ἄναξ ἐμός ἐσσι, νόον δέ με σεῖο διδάσκοις·
Ἰθείην δ' ἀγαθόν με φέροι χθόνα Πνεῦμα Θεοῖο.
Δός νύ μοι εὐδικίην, βιότου τροφὸν, εἵνεκα σεῖο.
Θυμὸν ἐμὸν στονόεντος, Ἄναξ, μόχθοιο σαώσοις·
C Ἐκ δέ μευ ἀντιβίους ἐλέῳ σέθεν εἵνεκ' ὀλέσσοις.
Πάντας ἐμῆς δαμάσειας, Ἄναξ, ψυχῆς ὀλετῆρας,
Οὕνεκα σὸς θεράπων καταθύμιος εὔχομαι εἶναι

## ΨΑΛΜΟΣ ΡΜΓ.

Δαυΐδου κλυτὸς ὕμνος ἐπ' ἀντιβίῳ Γολιάτῳ,
Καὶ τρίτατος σοφίῃ τοῖς πρὶν ἅμ' ἑσπόμενος.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακο-
[στός.
Εὐφήμοις μελέεσσιν ἀεὶ Θεὸς αἰνετὸς ἔστω,
Ὅς παλάμας θώρηξεν ἐμὰς ἐπὶ δηιοτῆτα·
Τεῦξε δὲ νωιτέρων μενεδήια δάκτυλα χειρῶ.
Αἰὲν, Ἄναξ, ἐλεητὺς ἐμὴ καὶ πύργος ἐτύχθης,
Ῥυόμενος κακότητος, ὑπερμενέας τ' ἀπαμύνων,
Ἐλπὶς ἀγακλήεσσα, καὶ ἄρκιος ἀσπιδιώτης,
Λαὸν ἐμὸν παλάμησιν ὑφ' ἡμετέρῃσι δαμάζων.
D Τίς βροτός ἐστιν, Ἄναξ, ὅτι οἱ ἀναφανδὰ παρέστης ;
Ἠ φύτλη μεροπηΐς, ὃ μιν φρεσὶν ὧδε γαραίρεις :
Ἄνθρωπος κενεοῖς ἰνδάλμασιν ἶσος ἐτύχθη.
Ἤματα δ' ἀσταθέϊ σφέτερα σκιῇ ἶσα παρέρπει.
Οὐρανὸν ἀγκλίνας πυκινὸν καταβήσαιο, Ποιμήν.
Θῖγ' ὀρέων, καὶ καπνὸν ἅδην σκοτειδέα τεύξεις.
Μαρμαρυγὰς στεροπῆς προϊεὶς σκεδάσειας ἅπαντας.
Πέμπε, Μάκαρ, βελέεσσι τεοῖς, ἵνα θυμὸν ὀρίνῃς.
Χεῖρα τεὴν πέμποις ἐξ αἰθέρος, ὥς με σαώσοις,
Καί με πολυσμαράγων ὑδάτων ἀπολύσαιο ὁρμῆς.
Χειρὸς ἀπ' ὀθνείων με, Μακάρτατε, ῥύεο παίδων,
Ὧν στόμα μαψιδίως κενεαυχέας ἔκφατο μύθους,

Δεξιτερὴ τ' ἀθέμιστος ἀεὶ μεταμώνια ῥέξει (22).
Αὐτὰρ ἐγώ τοι ἄεισμα νέον, Πανυπέρτατε, μέλψω
Νευρῆς ἁρμονίῃ δεκάδος τεὸν εὖχος ἀείσω.
Ὅς φάος ἡμετέροις βιότου βασιλεῦσιν ὀπάζοις,
Καὶ ξίφεος θεράποντα τεὸν Δαυΐδον ἔλυσας.
Χειρὸς ἀπ' ὀθνείων με, Μακάρτατε, ῥύεο παίδων.

Ὧν στόμα μαψίδιον κενεαυχέας ἔκφατο μύθους,
Δεξιτερὴ τ' ἀθέμιστος ἀεὶ μεταμώνια ῥέξει·
Υἱέες ὧν νεαροῖς πανομοίιοι ἔρνεσιν ἥβης·
Αὐτὰρ θυγατέρεσσι τόσος περὶ κάλλεϊ κόσμος,
Ὄμμασί κεν φαίης χρυσάμπυκα νηὸν ὁρᾶσθαι.
Παντοίων ἀγαθῶν σφέτεροι βεβρίθασι σηκοί.
Ἐξ ἑτέρου δ' ἕτερόν γε περιῤῥέει ἄσπετον ὕδωρ.

Τοῖσι μὲν εὔβοτα μῆλα καὶ εὔλογα πολλὰ τέτυκται,
Ζατρεφέες δὲ βόες, καὶ ἀρείονες ἔξοχον ἄλλων.
Ἔμπεδα μὲν πάντα σφίσιν ἕλκεα τηλόθεν ἄτης,
Οὐδ' ἀμφ' εὐρυπόροισιν ὁδοῖς σφέων ἐστὶν ἀϋτή.
Πάντες ἀνολβίζουσι τόσοις βεβριθότα λαόν.
Ὄλβιος, ᾧτε Θεὸς μέλεται φρεσὶν, ἔπλετο λαός.

### ΨΑΛΜΟΣ ΡΜΔ'.

Δαυΐδου κλυτὸς αἶνος ἐρισθενέος βασιλῆος.
Τέτρατον ἀγακλέων ἦσε μέλος σοφίης.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.
Ἄφθιτε, κυδαίνω σε, βίην δέ σε (23) ὑψόσ' ἀείρω·

Οὔνομα δ' ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς,
Ἐκ γενεῆς γενεήνδε διαμπερὲς ἤματα πάντα.
Γηθόσυνος μέλψω σε διηνεκὲς ἦμαρ ἐπ' ἦμαρ·
Οὔνομα δ' ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς,
Ἐκ γενεῆς γενεήνδε διαμπερὲς ἤματα πάντα.
Αἰνετός ἐσσι, Μάκαρ, καί τοι μέγα κῦδος ἀέρθη.

Καί οἱ ἀτέρμαντον πέλεται περιώσιον εὖχος.
Ἔργα σέθεν φύλοισι, Μακάρτατε, φῦλα βοήσει,

Καὶ σθένος ἀπροτίοπτον ἀριφραδέως ἀγορεύσει·
Σὸν μεγαλοπρεπὲς εὖχος ἀρίζηλον καταλέξει.
Σεῖο δ' ἀπαγγελέει τε, Μακάρτατε, θέσκελα πάντα·

Ἔργον δ' οὐκ ἐπιεικτὸν ἀνὰ στόμα δείματι μέλψει.
Οὔ σευ ἀναύδητος μεγαλαυχέα ἔργα παρέλθοι·
Σὸν σθένος ἀστυφέλικτον ἀριφραδέως ἀγορεύσει.
Ἐν δὲ δικαιοσύνῃ κεχαροίατο Παμβασιλῆος·
Οἰκτίρμων Βασιλεὺς πανυπέρτατος, ἠδ' ἐλεήμων,
Τλήμονα θυμὸν ἔχων, σφετέρην τ' ἐλεητὺν ἀέξων.

Μειλιχίην μετὰ πᾶσι Θεὸς δεδάηκε φυλάσσειν,
Ἔργα κατοικτείρων ὅσαπερ τεχνήσατο χειρί.
Ἀλήκτῳ κραδίῃ σε, Μακάρτατε, ἔργα βοήσει,
Καί σευ ἀγακλῆενθ' ὁσίων γένος αἶνον ἀείσει.
Κῦδος ἀνακτορίης πανυπέρτατον ἐξερέουσι,
Καὶ σθένος ἀστυφέλικτον, Ἄναξ, τεὸν ὑμνήσουσι,
Θνητὸν μερόπεσσιν ὅπως σθένος ἄφθιτον ἕξεις,

Καὶ μεγαλοπρεπὲς εὖχος ἀνακτορίης ἐρατεινῆς.

(22) Ῥέξει. Forte. ῥέζει. Edit.

A Dexteraque iniqua semper inania faciet.
At ego tibi carmen novum, Supreme, canam:
Nervi harmonia decimi tuam gloriam cantabo.
Qui lumen nostris vitæ regibus præbeas,
Et gladio servum tuum Davidem liberasti.
De manu externorum me, Beatissime, libera filio-
[rum.

Quorum os frustra vanos locutum est sermones,
Dexteraque iniqua semper inania faciet:
Filii quorum novellis similes plantis pubertatis:
At filiabus tantus in flore ornatus,
Oculis diceres deauratum templum videre.
Variis bonis sua ornantur stabula.
Ex altero autem in alterum circumfluit immensa
[aqua.

B His quidem pingues oves et fetosæ multæ sunt,
Crassæ vero boves et meliores supra alias.
Firma quidem omnia ipsis ulcera procul a noxa,
Neque in latis viis eorum est clamor.
Omnes beatificarunt tantis ornatum populum.
Beatus, qui Dei curam habet animis, est populus.

### PSALMUS CXLIV.

*Davidis inclytus hymnus præpotentis regis:*
*Quartum gloriosorum cecinit carmen sapientiæ.*
*Verumtamen centesimus est et quadragesimus.*

Immortalis, glorifico te, potentiam tuam in altum
[attollo:

Nomen vero celebrabo tuum crebris carminibus,
De sæculo in sæculum omnino dies omnes.
Lætus cantabo te continuum diem in diem:
Nomen vero celebrabo tuum crebris carminibus,
C De sæculo in sæculum omnino dies omnes.
Laudabilis es, Beate, quamvis ingens gloria elevata
[sit.

Et ipsi indesinens est excellens gloria.
Opera tua generationibus, Beatissime, generationes
[clamabunt,

Et potentiam latentem diserte pronuntiabunt:
Tuam magnificam gloriam illustrem narrabunt.
Tua vero annuntiabuntque, Beatissime, divina
[opera:

Opus vero non mediocre per os pavore canent.
Non tua mutus magnifica opera prætereat.
Tuum robur firmum diserte dicet.
In justitia vero exsultabunt omnium Regis,
Miserator, Rex summus et misericors,
D Patientem animum habens, suamque misericordiam
[augens.

Benignitatem apud omnes Deus vovit custodire,
Opera miserans quæcunque fabricavit manu.
Indesinenti corde te, Beatissime, opera clamabunt,
Et tuam gloriosam sanctorum genus laudem canet.
Decus regni summum dicent,
Et potentiam solidam, Rex, tuam celebrabunt,
Stupendum inter homines ut robur immortale ha-
[beas.

Et magnificum decus regni amabilis.

(23) Σε. Forte. σευ. Id.

Semper regnum omnem regens generationem.
Incorruptis sermonibus Deus fidem connectit,
Et ipsi æquitas est temperata operibus,
Immortalis novit semper corruentes excitare,
Erigere perniciosa sub ruina virum lapsum.
In te, Beate, respiciunt quæ fecisti omnia,
Et tribuas simul omnibus ut par est convenientem
[cibum.
Omne genus impleas, ubi manum tuam aperueris.
Undique æquitas pervestigat Regis vias:
Bona vero administratione sanctus refulget operum.
Omnem invocantem circumdat atque custodit,
Qui eum invocatione vera placaverit.
Semper suis famulis perficiat desiderium:
Deprecationem vero exaudiens sua liberabit noxa.
Semper Rex iniquitate suos servavit operarios,
At nequitiæ domat famulos interitu.
Laudem Domini meum os fidele canet,
Mortaliumque multa genera Dei inclytum nomen
[cantabunt,
De sæculo in sæculum cum indesinentibus sæculis.

## PSALMUS CXLV.

*Communis Zachariæ et Aggæi est hymnus,*
*Quintum socium habens sonum alleluia.*
*Verumtamem centesimus est et quadragesimus.*

Celebra Deum, chara anima, tuæ dominum vitæ:
Laudabo Regem valde orandum donec repo,
Immortalem cithara omnino celebrabo.
Nunquam principibus cum animis confidens fueris,
Neque mortalium filiis, unde lumen nunquam est:
Qui anima evolante, suam rursum redibunt in ter-
[ram.
His vero simul intereunt universæ mortuis cogita-
[tiones.
Beatus, cui Deus summus est adjutor,
Cuique fiducia est in Regis præceptis,
Qui terram viridemque et cœlum latum fecit,
Mare horrisonum, et quæcunque nutrit fluctus ma-
[ris,
Semper veritatem cupidus præcordiis custodit,
Qui oppressis justitiam demonstrat,
Omnibus vero famelicis largitur vitalem cibum.
Ipse compedibus vinctum novit servare:
Ipse difficili a ruina viros excitat:
Ipse Rex cæcis mentem prudentem facit:
Ipse Dominus sanctum genus diligit:
Ipse Rex novit advenam virum custodire,
Viduamque pupillumque in ulnis suscipere.
At viam suspiriosam conterat impiorum.
Perpetuo Immortalis gloriosus regnabit.
De sæculo in sæculum Deus Sionis imperans.

## PSALMUS CXLVI.

*Communis Zachariæ et Aggæi est hymnus,*
*Sextum socium habens sonum alleluia.*
*Verumtamen centesimus est et quadragesimus.*

Celebrate Dominum, quoniam carmen bonum est
Laus nostro grata erit Regi.
Nobilis rex Hierusalem divinam ædificans:

A Αἰεὶ κοιρανίη ἁπάσης μεδέουσα γενέθλης.
Ἀχράντοις ἐπέεσσι Θεὸς περὶ πίστιν ὑφαίνει,
Καί οἱ εὐδικίη τελέθει κεκερασμένη ἔργοις.
Ἀθάνατος δεδάηκεν ἀεὶ πίπτοντας ἐγείρειν,
Ἰθύνειν ὀλοοῦ ὑπὸ ῥήγματος ἄνδρα πεσόντα.
Εἰς σὲ, Μάκαρ, λεύσσουσι τάπερ τεκτήναο πάντα,
Καὶ δώης ἅμα πᾶσι κατὰ χρέος ἄρμενον εἶδαρ.

Πᾶν γένος ἐκπλήσειας, ἐπὴν σεο χεῖρα πετάσσῃς.
Πάντοθεν εὐδικίη μεθέπει Βασιλῆος ἀταρπούς·
Ἐκ δ' εὐηγεσίης ὅσιος περιλάμπεται ἔργων.
Παντὶ λιταζομένῳ περιίστατα:, ἠδὲ φυλάσσει,
Ὥστε μιν ἱκεσίῃ παναληθεῖ μειλίξαιτο.
Αἰὲν δμώεσσιν ἐπικρήνειεν ἐέλδωρ·
Ἱκεσίης δ' ἀΐων σφετέρης ἀπολύσεται ἄτης.
B Αἰὲν Ἄναξ κακότητος ἑοὺς ἐσάωσεν ἐρίθους,
Αὐτὰρ ἀτασθαλίης δαμάᾳ θεράποντας ὀλέθρῳ.
Αἶνον Παμβασιλῆος ἐμὸν στόμα πιστὸν ἀείσει,
Θνητῶν τ' ἄσπετα φῦλα Θεοῦ κλυτὸν οὔνομα μέλψει,

Ἐκ γενεῆς γενεήνδε μετ' ἀλήκτοισι γενέθλαις.

## ΨΑΛΜΟΣ ΡΜΕ'.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
Πεμπταῖον ξυνέριτον ἔχων θρόον ἀλληλούϊα.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρα-
[κοστός.
Μέλπε Θεὸν, φίλε θυμὲ, τεῆς κρατέοντα βιώνης·
Ὑμνήσω Βασιλῆα πολύλλιτον εἰσόκεν ἕρπω·
Ἀθάνατον φόρμιγγι διαμπερὲς ὑμνοπολεύσω.
Μηδέποθ' ἡγητῆρσι μετὰ φρεσὶ θάρσυνος εἴης,
Μηδὲ βροτῶν τεκέεσσιν, ὅθεν φάος οὔποτ' ἐτύχθη·
C Οἳ ψυχῆς πταμένης, σφετέρην πάλιν εἶσ' ἐπὶ γαῖαν.

Τοῖσι δ' ὁμῶς φθινύθουσι ὅλαι φθιμένοισι μενοιναί.

Ὄλβιος, ᾧτε Θεὸς πανυπέρτατός ἐστιν ἀρωγὸς,
Ὧ τε κατ' ἐλπωρὴ πέλεται Βασιλῆος ἐφετμὰς,
Ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε,
Πόντον ἐρισμάραγον, καὶ ὅσα τρέφει οἶδμα θαλάσ-
[σης.
Αἰὲν ἀληθείην μεμαὼς πραπίδεσσι φυλάσσει,
Ὅς ῥα βιαζαμένοισι δικαιοσύνην ἀναφαίνει,
Πᾶσι δὲ πειναλέοισι διδοῖ ζωαρκέα δαῖτα.
Αὐτὸς ἀλυκτοπέδης πεπεδημένον οἶδε σαῶσαι·
Αὐτὸς ῥιγεδανοῦ ὑπὸ ῥήγματος ἄνδρας ἐγείρει·
Αὐτὸς Ἄναξ τυφλοῖσι νόον πυκινόφρονα τεύχει·
D Αὐτὸς Παμβασιλεὺς ὅσιον γένος ἀμφαγαπάζει·
Αὐτὸς Ἄναξ δεδάηκε νεήλυδα φῶτα φυλάσσειν,
Χήρην τ' ὀρφανικόν τε μετ' ἀγκαλίδεσσιν ἀεῖραι.
Αὐτὰρ ὁδὸν στονόεσσαν ἀμαλδύνειεν ἀλιτρῶν.
Νωλεμέως Ἄχραντος ἀγακλειὴς βασιλεύσει,
Ἐκ γενεῆς γενεήνδε Θεὸς Σιῶνος ἀνάσσων.

## ΨΑΛΜΟΣ ΡΜϚ.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
Ἑκταῖον ξυνέριθον ἔχων θρόον ἀλληλούϊα.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακο-
[στός.
Μέλψατε Παμβασιλῆα, ἐπεὶ μέλος ἐσθλὸν ἐτύχθη.
Αἶνος νωιτέρῳ καταθύμιος ἔσσετ' Ἄνακτι.
Κλεινὸς Ἄναξ Ἱερουσαλὴμ θεοτερπέα τεύχων·

Φῦλον ἐπαθροίσει κεκεδασμένον Ἰσραήλου.
Ἰητὴρ οἷσίν τε κατεκλάσθη φίλον ἦτορ,
Καὶ σφετέροιο πόνοιο περισφίγγων μελεδῶνας.
Μοῦνος ἀμετρήτων ἄστρων δεδάηκεν ἀριθμὸν,
Ἐξονομακλήδην ὀνομάζων τείρεα πάντα.
Νωίτερος Θεός ἐστι μέγας, μεγάλη δέ οἱ ἀλκή·
Οὐδὲ ἀνὴρ πινυτῆς Μάκαρος κλυτὰ μέτρα νόησεν.

Οἶδεν ἀειρέμεναι Βασιλεὺς γένος ἠπιοθύμων
Αὐτὰρ δυσσεβέας γαίης πυμάτοισι δαμάζειν.
Ἀρχόμενοι Βασιλῆα θοῇ κελαδήσατε μολπῇ.
Μέλψατε Παμβασιλῆα Θεὸν φόρμιγγι λιγείῃ.
Οὐρανὸν ὃς πολύχαλκον ἑοῖς νεφέεσσι πυκάζει,
Γαίῃ ἑτοιμάζων σφετέρῃ φυσίζοον ὄμβρον.
Ὃς τόσον ὑψικόμοις καὶ ἐν οὔρεσι χόρτον ἀέξει,

Ἀντέλλων ζυγίοισι βροτῶν μελιηδέα ποίην.
Ὃς καὶ τετραπόδων ἀγέλαις πόρεν ἄρμενον εἶδαρ,

Καὶ κοράκων ἤρκεσσε λιταζομένοισι νεοσσοῖς·
Οὔ ποτ' ἐπαινήσειεν Ἄναξ σθένος ἄσχετον ἵππου·
Κνημάων δ' οὐ πάμπαν ἀγάσσεται ἀνδρὸς ἐρωήν.
Μᾶλλον ἐπὶ δμώεσσιν ἑοῖς κεχαρήσεται Ἐσσήν.
Οἷς δ, (24) ἐλεημοσύνη καταθύμιός ἐστιν Ἄνακτος.

ΨΑΛΜΟΣ ΡΜΖ'.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
Ἕβδομον ἀμφήριστον ἔχων θρόον ἀλληλούϊα.
Ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.

Αἴνεε τιμήενθ', Ἱερουσαλὴμ, Βασιλῆα·
Σιὼν, ὑμνοπόλευε τεοῦ Βασιλῆα βίοιο·
Οὕνεκα σῶν πυλέων σθεναροὺς χάλκευσεν ὀχῆας.
Ἐν σοὶ σοὺς πινυτοὺς καὶ ἀγακλέας ᾔνεσε παῖδας.
Ὅς σέθεν εἰρήνῃ πεφυλαγμένα τέρματα θῆκε·
Πλῆσε δὲ πιαλέῃ σε βίῃ μενοεικέος ἀκτῆς.
Ὅς χθονὶ πουλυβοτείρῃ ἐπίρροθον ὤπασε μῦθον·

Αὐτὰρ ὁ ῥίμφα θέων μετελεύσεται ἔνθα καὶ ἔνθα,
Εἰρίον ὥς, ψυχρῆς χιόνος σθένος ὑψόθι φαίνων,
Πάσσων καπνοτόκειαν ὅπως σποδὸν αὐχμὸν ὁμίχλης,

Εἰδομένην ψωμοῖσιν ἑὴν κρύσταλλον ἰάλλων.
Ψύχεϊ τίς κεν ἑὸν δύναται μένος ἰσοφαρίζειν;
Πάντα λόγῳ ζώοντι τακήσεται ὁρμηθέντι.
Ὕδατα δὲ πνοιῇσιν ὑπὸ σφετέρης κελαρύζει.
Μῦθον Ἰακώβῳ πινυτῷ φίλον ἐξαγορεύων,
Κλεινὰς δ' εὐδικίας ἐρέων κλεινῷ Ἰσραήλῳ,
Οὐδέποτ' ἀλλοδαποῖσι μετ' ἔθνεσι τοῖον ἔρεξεν,
Οὐδὲ δικαιοσύνας σφετέρας τεκμήρατο λαοῖς.

ΨΑΛΜΟΣ ΡΜΗ'.

Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος,
Ὄγδοον ἀμφήριστον ἔχων θρόον ἀλληλόϊα.
Ἔμπα γε μὴν ἑκαστοστός ἔφυ καὶ τεσσαρακοστός.

Μέλψατέ μοι μέγα κῦδος ἀπ' οὐρανόθεν Βασιλῆος·
Μέλψατέ μιν, βοόωντες ἐφ' ὑψίστοισι θοώκοις·
Μέλψατέ μιν, δῆμοι μεγαλοσθενέων στρατιάων·
Μέλψατέ μιν, πᾶσα σθενέων ἀριδείκετος ἀλκή·

(24) Οἷς δ'. Forte, οἷς τ'. Edit.

A Nationem congregabit dispersam Israelis.
Medicus quibusque contritum est charum cor,
Et sui doloris constringens curas.
Solus innumerabilium stellarum novit numerum,
Nominibus suis nominans astra omnia.
Noster Deus est magnus, magna vero ipsi virtus,
Neque vir prudentia Beati nobiler mensuras intel-
[ ligit.

Novit extollere Rex genus mansuetorum,
At impios terræ extremis domare.
Canere incipientes Regem celeri resonate cantu :
Celebrate Dominum Deum cithara canora,
Cœlum qui firmum suis nubibus operit.
Terræ parans suæ vivificam pluviam.
Qui tantum alticomis etiam in montibus fenum
B [ auget,
Producens jumentis mortalium suavem herbam.
Qui etiam quadrupedum gregibus largiatur conve-
[ nientem cibum.
Et corvorum adjuvit invocantes pullos.
Nunquam laudaverit Rex robur indomitum equi :
Crurum vero non prorsus admirabitur viri impetum.
Magis super servos suos gaudebit Rex :
Quibus vero misericordia grata est Regis.

PSALMUS CXLVII.

*Communis Zachariæ et Aggæi est hymnus,*
*Septimum controversum habens sonum alleluia ;*
*Verumtamen centesimus est et quadragesimus.*

Lauda honoratum, Hierusalem, Regem :
Sion, celebra tuæ Regem vitæ :
C Quoniam tuarum portarum validos fabricavit vectes.
In te tuos prudentes et gloriosos laudavit filios.
Qui tuos pace custoditos fines posuit,
Implevit vero pinguedine te vi placidæ Cereris.
Qui terræ multorum nutrici auxiliare præbuit ver-
[ bum.
At qui cito currens præteribit hinc et hinc,
Lanam sicut, frigidæ nivis vim ex alto ostendens,
Spargens fumiparam velut cinerem squallorem
[ nebulæ.
Similem buccellis suam glaciem emittens.
Frigore quis ejus potest robur æquiparare ?
Omnia verbo viventi liquefient incitato :
Aquæ vero flatibus sub suis sibilant.
Sermonem Jacobo prudenti suum annuntians,
D Inclytas vero æquitates dicens inclyto Israeli,
Nunquam alienigenis cum nationibus tale fecit,
Neque Justitias suas significavit populis.

PSALMUS CXLVIII.

*Communis Zachariæ et Aggæi est hymnus,*
*Octavum controversum habens sonum alleluia.*
*Verumtamen centesimus est et quadragesimus.*

Celebrate mihi magnum decus de cœlo Regis ;
Celebrate eum, clamantes in altissimis sedibus ;
Celebrate eum, populi magnanimorum exercituum;
Celebrate eum, omne virtutum inclytum robur ;

Celebrate, solque et splendens luna ;
Celebrate, astra omnia, Deum, et immensus splendor:

Celebrate cœlestium locorum supra cœlum aliud,
Circulisque cœlestibus superior pura aqua:
Omnia simul celebrent inclytum nomen Domini.
Quia ipse dixit, et existerunt omnia,
Suis vero mandatis inflexibilibus radicata sunt :
Stant vero sempiterno quæ fecit ipse jussu.
Nunquam divinum Beati præteribit mandatum.
Laudate Dominum in terra lata.
Repentesque dracones simul cum caliginosis abyssis
Ignis cum glaciebus, nix vero simul sequatur grandinem,

Et flatus astræ procellæ per aerem iens,
Semper famulantia Dei vera sermoni.
Montes, arboricomorumque montium hirsuta cacumina,

Cedri omnis generis, et arbores virescentes,
Quadrupedum greges, et monticolæ serpentes terræ
Reptilia, et pennis exsilientes volucres,
Populi omnes et præpotentes reges,
Innocentes cum omnibus judices principibus,
Juuenes, senes, et virgines vestem trahentes,
Fortes canis juniores in unum euntes,
In uno celebrent gloriosum nomen Domini :
Quia exaltatum est regium nomen solum.
Laus ejus terramque et cœlum circumtegit,
Et populi sui cornu gloriosum exaltat.
Hymnus vero gloriosus curæ sit generationibus justorum,

Populo divino prudentis Israelis.

## PSALMUS CXLIX,

*Suave carmen centesimum est est quadragesimum*
*Nonum, cœlestem ferens sonum alleluia.*

Cantate mihi Regi novum et amabile canticum :
Semper habet in ecclesiis sanctorum gratum hymnum.

Israel Rege charo lætetur confisus :
Filii rursum Sionis suo Rege gaudeant.
Nomen celebrent regium in choris :
Cantent eum, tympanum rursus citharamque sumentes :

Quoniam ei suus gratus erat populus.
Lumine autem exaltabit charum genus mansuetorum.

Hinc sanctorum amabiles exsultabunt generationes :
In sacris vero cubilibus amico gaudeant animo.
Gutture Regis excellentias ferentes,
Gladium rectis manibus ancipitem habentes,
Populorum diversorum maleficos viros perdere,
Et jugum immortale populos deserentes increpabit.
Horum vero amicos reges compedibus ligavit,
In ferreis vero vinculis manus pretiosorum,
Scriptamque æquitatem serio cum eis faciet.
Sic sanctis gloria bona suis in omnibus est.

A Μέλψατε, ἠέλίος τε καί αἰγλήσσα σελήνη·
Μέλψατε, τείρεα πάντα, Θεὸν, καὶ ἀθέσφατος αἴγλη·

Μέλψατ' ἐπουρανίων δαπέδων ὑπὲρ οὐρανὸν ἄλλον,
Κύκλων τ' οὐρανίων καθυπέρτερον εὐαγὲς ὕδωρ·
Πάνθ' ἅμα μελπόντων κλυτὸν οὔνομα Παμβασιλῆος.
Οὕνεκεν αὐτὸς ἔειπε καὶ ἐβλάσνησεν ἅπαντα,
Ἧς δ' ὑποθημοσύνησιν ἀκαμπέσιν ἐῤῥίζωθεν·
Στᾶν δὲ διηνεκεῖ τάπερ ἕδρασεν αὐτὸς ἀνωγῇ.
Οὔποτε θεσπεσίη Μάκαρος παρελεύσετ' ἐφετμή.
Μέλψατε Παμβασιλῆα κατὰ χθονὸς εὐρυοδείης,
Ἑρποσταί τε δράκοντες ὁμοῦ δνοφερῇσιν ἀβύσσοις
Πῦρ μετὰ κρυστάλλοισι, χιὼν δ' ἅδ' ἕποιτο χαλάζῃ,

Καὶ πνοιὴ ζοφεροῖο καταιγίδος ἠεροφοῖτις,
B Αἰὲν ὑποδρήσσοντα Θεοῦ νημερτέϊ μύθῳ.
Οὔρεα, δενδρονόμων τ' ὀρέω λασιαύχενες ἄκραι,

Κέδροι παντοδαπαὶ, καὶ δένδρεα τηλεθόωντα,
Τετραπόδων ἀγέλαι, καὶ ἀρέστερα θηρία γαίης
Ἑρπετὰ, καὶ πτερύγεσσι μεταΐσσοντα ποτητὰ,
Λαοὶ παντοδαποὶ, καὶ ἐρισθενέες βασιλῆες,
Ἔνθεσμοι μετὰ πᾶσι δικασπόλοι ἡγητῆρσιν,
Ἡβηταὶ, γεραροὶ, καὶ παρθένοι ἑλκεσίπεπλοι,
Ἴφθιμοι πολιοῖσι νεώτεροι εἰς ἓν ἰόντες,
Εἰν ἑνὶ μελπόντων κλυτὸν οὔνομα Παμβασιλῆος
Οὕνεκεν ὑψώθη βασιλήϊον οὔνομα μοῦνον.
Αἶνος ἑὸς γαῖάν τε καὶ οὐρανὸν ἀμφικαλύπτει,
Καὶ λαοῦ σφετέροιο κέρας μεγαλαυχὲς ἀείρει.
Ὕμνος δ' εὐκλειὴς μελέτω γενεῇσι δικαίων,

C Δήμῳ θεσπεσίῳ πυκινόφρονος Ἰσραήλου.

## ΨΑΛΜΟΣ ΡΜΘ'.

Ηδὺ μέλος ἑκατοστὸν ἔφυ καὶ τεσσαρακοστὸν
Εἴνατον, οὐράνιον φορέον θρόον ἀλληλούϊα.

Μέλψατέ μοι Βασιλῆϊ νέην καὶ ἐπήρατον οἴμην·
Αἰὲν ἔχει κλισίῃς ὁσίων μεμελημένον ὕμνον.

Ἰσραῆλος Ἄνακτι φίλῳ τέρποιτο πεποιθώς·
Υἱέες αὖ Σιῶνος ἐῷ Βασιλῆϊ χαρεῖεν.
Οὔνομα μελπόντων βασιλήϊον ἀμφὶ χοροῖσιν·
Ἀδόντων μιν τύμπανον αὖ κιθάρην τ' ἀνελόντες

D Οὕνεκά οἱ σφέτερος καταθύμιος ἔπλετο λαός.
Φέγγεϊ δ' ὑψώσειε φίλον γένος ἠπιοθύμων.

Ἔνθ' ὁσίων ἐρατειναὶ ἐπαυχήσουσι γενέθλαι·
Ἐν δ' ἱεροῖς λεχέεσσι φίλῳ κεχαροίατο θυμῷ.
Λαυκανίῃ βασιλῆος ὑπερτερίας φορέοντες,
Φάσγανον ἰθυπόροις παλάμῃς ἀμφήκες ἔχουντες,
Δήμων παντοδαπῶν κακοεργέας ἄνδρας ὀλέσσαι,
Καὶ ζυγὸν ἀθάνατον λαοὺς μεθιέντας ἐλέγξει.
Τῶν δὲ φίλους βασιλῆας ἀλυκτοπέδῃσι πέδησεν.
Ἐν δὲ σιδηρείῃσι πέδῃς παλάμας ἐριτίμων,
Γραπτήν τ' εὐνομίην σπουδῇ μετὰ τοῖσι τελέσσει.
Ὧδ' ὁσίοις κλέος ἐσθλὸν ἑοῖς μετὰ πᾶσιν ἐτύχθη.

### ΨΑΛΜΟΣ ΑΝ΄.

Πένθ' ἅμα καὶ δεκάτης δεκάδος μέλος ἀλληλούϊα.
Μέλψατέ μοι Βασιλῆα, χοροὶ δ' ἅμ' ἕποιντο δικαίων·

Μέλψατέ μιν σταθερῇ κράτεος περιθάρσυνον ἀλκῇ·
Μέλψατέ μιν σφετέροισιν ἀειρόμενον σθενέεσσι·
Μέλψατέ μιν μεγαλιζόμενον πυκινοῖσιν ἐπ' ἔργοις·
Μέλψατέ μιν σάλπιγγος ἐρισθενέος πατάγοισι·
Μέλψατέ μιν φόρμιγγι καὶ ἁρμονίῃ ἐρατεινῇ·
Μέλψατέ μιν τυμπάνοισι καὶ εὐφήμοισι χοροῖσι·
Μέλψατέ μιν κιθάρῃ τε καὶ ἐν χορδῇσι λιγείαις·
Μέλψατέ θείνοντες λιγυηχέα κύμβαλα χερσί·
Μέλψατέ μιν παλάμῃς ἀλαλαγμοῦ κύμβαλ' ἑλόντες·

Πνοιὴ παντοδαπὴ, κελαδήσατε Παμβασιλῆα.

### PSALMUS CL.

A *Quintæ simul et decimæ decadis carmen alleluia.*
Celebrate mihi Regem, chori simul sequantur justorum :
Celebrate eum firmo virtutis fretum robore :
Celebrate eum suis elatum roboribus :
Celebrate eum magnificatum crebris in operibus :
Celebrate eum tubæ fortis strepitibus :
Celebrate eum cithara, et harmonia amabili :
Celebrate eum tympanis et speciosis choris :
Celebrate eum citharaque et in chordis canoris :
Celebrate percutientes arguta cymbala manibus :
Celebrate eum manibus jubilationis cymbala sumentes :
Spiritus omnifarius celebret Dominum.

### ΨΑΛΜΟΣ ΡΝΑ΄.

Πέμτης πρὸς δεκάτῃ δεκάδος πέλει ἔκτοθεν ὕμνος,

Ὃν Γολιάτῳ μουνομαχήσας ᾖσε Δαυΐδος.
Ἀμφὶ κασιγνήτοισιν ἐμοῖς μάλα τυτθὸς ἐτύχθην,
Πατρῷον κατὰ δῶμα νέος μετὰ πᾶσιν ἀκούων,
Εἰροπόκων ὀΐων ἀγέλας ἀγροῖσι νομεύων·
Χεῖρες ἐμαὶ φόρμιγγα λιγύθροον ἐντύναντο,
Δάκτυλα δ' ἁρμονίην θεοτερπέα τεκτήναντο.
Τίς κεν ἀπαγγείλειεν ἐρισθενέτῃ Βασιλῆι ;
Αὐτὸς Ἄναξ δεδάηκεν ἐμῶν ἐπέων ὑπακοῦσαι·
Αὐτὸς ἐπουρανίου στρατιῆς ταχὺν ἄγγελον ἧκεν,
Ἐκ δὲ με πατρῴης ἀγέλης ἐξείλετο μήλων,
Καί μευ πιαλέῳ δέμας αὐτὸς ἔχρισεν ἐλαίῳ.
Ἦμεν ἀδελφοὺς μεγάλους ἔχον, ἠδὲ καὶ ἐσθλούς·
Ἀλλ' οὔ σφιν Βασιλεὺς κλέος ἤθελεν ἐσθλὸν ὑπάσσαι.
Ἀλλοδαποῦ καλέοντος ἐναντίον ἀνέρος ἧιειν·
Αὐτὰρ ὅ μ' εἰδώλοισιν ἑοῖς νείκεσσε πεποιθώς·
Τοῖο δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,

Αὐχένος ὑψηλοῖο κάρη ἀπέκοψα παραστάς·
Λώβην δ' ἐξαλάωσα περίφρονος Ἰσραήλου.
Αἶνον ἄγω σοι θεῖον, Ὑπέρτατε ἐν βασιλεῦσιν,
Οὕνεκεν ὀτραλέως περιηγέα βίβλον ἅπασαν,
Δαυΐδου πινυτοῦ περικαλλέος ἐκτολυπεῦσαι
Δῶκας ἐμὴν πανάποτμον ἐν ἀνδράσιν ἔμπα γενέθλην.

### PSALMUS CLI.

B *Quintam præpter decimam decadem est extra hymnus,*
*Quem cum Goliath singulari certamine congressus cecinit David.*
Inter fratres meos valde parvus eram,
Paterna in domo juvenis inter omnes audiens,
Lanigerarum ovium greges in agris pascens.
Manus meæ citharam stridulam construxerunt,
Digiti vero harmoniam Deo gratam concinnaverunt.
Quis annuntiabit præpotenti Regi ?
Ipse Rex novit mea verba exaudire :
Ipse cœlestis exercitus velocem nuntium misit,
Me vero de paterno grege assumpsit ovium,
Et meum pingui corpus ipse unxit oleo.
Et fratres magnos habebam et etiam fortes :
C Sed non ipsis Rex gloriam voluit bonam præbere.
Alienigenæ vocanti in occursum exivi :
Et ipse me idolis suis exsecratus est fretus :
Hujus vero ego gladium acutum extrahens de femore,
Cervicis altæ caput abscidi astans :
Contumeliam vero abstuli abs circumspecto Israele.
Laudem ago tibi divinam, Supreme inter reges,
Quoniam diligenter descriptum librum omnem,
Davidis prudentis formosi perficere.
Dedisti meum infelix inter viros tamen genus.

---

ANNO DOMINI CCCLXXXV.

# ISAAC EX JUDÆO CHRISTIANUS.

## NOTITIA.

(GALLAND., *Vet. Patr. Biblioth.*, t. VII, Proleg. p. xxv.)

I. Qui de scriptore Isaac ex Judæo mentionem injecerit, ex antiquioribus, præter Gennadium, novimus neminem. Sic autem ille (*a*) :